ὃ καὶ σὺ θάμνοις οἶσθά μοι κεκρυμμένον,
ὅπως λόγῳ κλέπτοντες ἡδεῖαν φάτιν
φέρωμεν αὐτοῖς, τοὐμὸν ὡς ἔρρει δέμας
φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον.
τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν
ἔργοισι σωθῶ κἀξενέγκωμαι κλέος;
[δοκῶ μέν, οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.]
ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς

51 *ἔφη θεός* Wunderus *ἐφεῖτό μοι* vel *ἐφεῖτο νῷν* Dindorfius || 52 *λοιβαῖσι* Ll Eustathius Suidae cod. bruxellensis: *τε* add. Ŀ *λοιβαῖς τε* peg *λοιβαῖς τὸ* Suidae cod. ABC || 53 *εἰσ* g | *ἥκομεν* g || 54 *κύτωμα* Nauckius (mél. gréco-rom. II p. 653) | *ἠρμένοι* Lpe: *ἠιρμένοι* Ŀlg || 55 del. Schoellius | *μοι* L(ut videtur, non *ποι*)g: *ποῦ* Ŀlpe || 56 *κέπτοντες* L *λ* superscr. Ŀ *κλέποντες* l *γρ. θνήσκοντες* superscr. e[2] | *ἡδείαν* l | *φάτιν* g *φάσιν* g[1] || 57 *φέρωμεν* g (*ο* supra *ω* add. g[2]) Brunckius: *φέροιμεν* Llpe || 59—66 del. Schoellius | *ὅτ' ἂν* l *ὅτ' ἀν* Ŀ | *τί δή με — θάνω, ἔργοις δὲ — κλέος;* Eustath. Hysm. IX, 21 || 61 del. Steinhartus progr. portens. saecular. 1843 p. 7, 61—66 Morstadtius p. 8 | *μὲν οὐδὲν* eg[2]: *μ̀ * οὐδὲν* p *με οὐδὲν* Suidae (*τί γάρ*) cod. A *μὲν ὡς οὐδὲν* Llg Suidas (*λύπη* et *τί γάρ*) | *συγκέρδει* L corr. Ŀ *σὺγκέρδει* l | **ακόν* e, corr. e[2] | Athenaeus III, 94 p. 122 C *καὶ ἀλλαχοῦ δ' ὁ αὐτὸς ⟨Σοφοκλῆς⟩ ἔφη μηδὲν εἶναι ῥῆμα σὺν κέρδει κακόν.* || 62—66 del. Wecklinus art. p. 170 | *εἶδον* p (*ει* et *ο* p[1])

51 *ὁ Ἀπόλλων δηλονότι.* | *ὡς ἐκέλευεν.* || 52 *λοιβαῖσι πρῶτον καὶ καρατόμοις: καὶ τοῖς ἀπὸ κρατὸς τετμημένοις βοστρύχοις. λέγοι δ' ἂν χλιδὰς ἤτοι καθόλου τοὺς πλοκάμους, οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς, ἢ παρ' ὅσον τρυφὴ καὶ κόσμος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ* ⟨*ἀπετίθετο ἐν τοῖς τάφοις* g⟩ ⟨Suidas *χλιδή*⟩. | * Evstathivs ad Hom. *Η* 479 p. 692 *καὶ ἡ νεκρικὴ χοὴ λοιβὴ παρὰ Σοφοκλεῖ ἐν τῷ 'τύμβον λοιβαῖσι στέψω'.* * || 54 *τὴν ὑδρίαν, ἐν ᾗ δῆθεν τὰ δοκοῦντα εἶναι ὀστέα Ὀρέστου ἀπέκειτο* ⟨Suidas *τύπωμα*⟩. | *τὸ ἄγγος* ⟨Suidas *τύπωμα*⟩. | * Evstathivs ad Hom. *Θ* 9 p. 694 *καὶ ὁ αἴρων ἠρμένος, οἷον 'τύπωμα — χεροῖν'.* * || 56 *ἀπατῶντες, παραλογιζόμενοι. Ὅμηρος* ⟨*Α* 132⟩ *'κλέπτε νόῳ'.* || 59 ⟨*ὅταν θάνω ἐν προφάσει, τοῦτο ποιῶ δι' ὄφελος.* add. g⟩ || 62 *ἤδη γὰρ εἶδον πολλάκις: Πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ λογοποιεῖν ἐκέλευσε τὴν μητέρα ὡς ἄρα τεθνηκὼς εἴη, καὶ μετὰ ταῦτα ἐπιφανεὶς περὶ παλιγγενεσίας καὶ τῶν καθ' Ἅιδου τινὰ ἐτερατεύετο, διηγούμενος πρὸς τοὺς ζῶντας περὶ τῶν οἰκείων, οἷς ἐν Ἅιδου συντετυχηκέναι ἔλεγεν· ἐξ ὧν τοιαύτην ἑαυτῷ δόξαν περιέθη-*

λόγῳ μάτην θνῄσκοντας· εἶθ', ὅταν δόμους
ἔλθωσιν αὖθις, ἐκτετίμηνται πλέον·
ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
δεδορκότ' ἐχθροῖς ἄστρον ὣς λάμψειν ἔτι.
ἀλλ', ὦ πατρῴα γῆ θεοί τ' ἐγχώριοι,
δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς,
σύ τ', ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
δίκῃ καθαρτὴς πρὸς θεῶν ὡρμημένος·

63 θνήσκοντασ Llpeg | δόμους L^{2}l^{2}pe: δόμοισ Lg δόμος l || 64 αὖτίσ l || 65 ὥς g. ὣς οὐκ ἄμ' e | ἄπω L corr. L^2 || 66 ώς l ὥς g || 67 πατρῶα e || 68 post 70 collocat Morstadtius p. 11 | δέξασθαί e, corr. e^3 | τοῖς p

κεν, ὡς πρὸ μὲν τῶν Τρωικῶν Αἰθαλίδης ὢν ὁ Ἑρμοῦ, εἶτα Εὔφορβος, εἶτα Ἑρμότιμος ⟨ὁ Σάμιος add. e Σάμιος Suidas⟩, εἶτα Πύθιος ⟨Πύρρος Reinesius e Diogene Laertio VIII, 5⟩ ὁ Δήλιος ⟨Πύθιας ὁ Λυδὸς g Δήλιος ὁ Πύθιος v⟩, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας ⟨Suidas⟩. εἰς τοῦτο ⟨τοῦτον g⟩ οὖν ἔοικεν ἀποτείνεσθαι ὁ Σοφοκλῆς. ἔνιοι δὲ οἴονται ἀπιθάνως εἰς Ὀδυσσέα ἀποτείνεσθαι· οὐ ⟨gv: οὔπω L οὔπως Iahnius⟩ γὰρ πέπρακταί τι τοιοῦτον Ὀδυσσεῖ. ἐφυλάξατο δὲ ὀνομάσαι τὸν ἄνδρα, ὡς ⟨Michaelis: καὶ Lh καὶ τὸ v, del. Trendelenburgius gramm. iud. p. 55. μὴ καὶ Brunckius⟩ μή τῳ ⟨Dindorfius: μὴ τῶν Lv μήπω h μήν τῳ vel μήποτε Wolffius⟩ θαυμαστὸν ⟨h Wolffius: θαυμαστῶν Lv⟩ εἶναι δόξῃ, ὅτι ⟨v: om. Lfh⟩ ἐν τραγῳδίᾳ καὶ μύθῳ παλαιῷ τετόλμηκέ τι ⟨v: τετολμηκ.τι L τετολμηκότι h τετολμηκέναι f⟩ κακόηθες εἰπεῖν καὶ προσκρουστικὸν εἰς τοὺς καθ' ἑαυτόν, ὃ μᾶλλον ἥρμοζε κωμῳδίᾳ ⟨ἄνδρα, ὡς μὴ αὐτὸν οἰηθῶμεν εἶναι· τραγῳδίαν τε φημὶ καὶ μυθολογίαν. g⟩ | * Evstathivs ad Hom. ω 264 p. 1961 ἔστι γάρ τινα οὐ μόνον τροπικῶς κακῶν ὕπο κατὰ τὴν τραγῳδίαν θανεῖν, ἀλλὰ καὶ λόγοις μόνοις κατά τε φήμην ἁπλῶς καὶ μὴν κατ' ἐπιτήδευσιν, ὅτε τις προτίθεται λόγοις θανὼν ἔργοισι σωθῆναι, τραγῳδικῶς εἰπεῖν, κἀξενέγκασθαι κλέος· ὃ καὶ Ζάλευκος ⟨Ζάλμολξις Wolffius⟩ καὶ Πυθαγόρας ἐπραγματεύσαντο. * || 65 * Svidas ἐπαυχῶ· βεβαίως οἶδα. Σοφοκλῆς 'ὡς — ἔτι'. * || 66 * Evstathivs ad Hom. Χ 95 p. 1259 ἰστέον δὲ ὅτι ἐνταῦθα μὲν συνήθως τὸ δέδορκεν ἀντὶ τοῦ βλέπειν λαμβάνεται, Σοφοκλῆς δὲ ἐν τῷ 'ἐχθροῖς δεδορκότα λάμψειν ὡς ἄστρον' ἐπὶ τοῦ ὁραθῆναι παθητικῶς τὴν λέξιν τίθησιν ὡς τοῦ μέσου παρακειμένου ἐν πολλοῖς ἐπαμφοτερίζοντος. ⟨cf. ad Β 135 p. 191⟩ * || 68 δέξασθέ μ' εὐτυχοῦντα: ἐπ' εὐτυχίᾳ με δέξασθε, ὥστε ταύτας τὰς ὁδοὺς τελεσθῆναι. | εὐτυχῶς ἐπιχειροῦντα ταῖς μηχαναῖς. || 70 δίκῃ καθαρτής: τὰ εἰς της, ἔχοντα τὴν παρατέλευτον εἰς ἀμετάβολον λήγουσαν, ἀπρόσληπτα ὄντα τοῦ σ̄ κατὰ τὴν γενικήν, βαρύνονται, εἰ μὴ εἴη μετοχικά, ὑφάντης ἀγύρτης εὐφράντης ⟨etym. m. p. 346: εὐφράτης Lv⟩· τὸ δὲ ἑκοντὴς καὶ ἐθελοντὴς μετοχικά· παρὰ δὲ Ἀττικοῖς ὀξύνεται τό τε καθαρτὴς καὶ ἀμυντὴς ἐπὶ τοῦ βοηθοῦ, φαιδρυντὴς ποικιλ-

καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς
ἀλλ' ἀρχέπλουτον καὶ καταστάτην δόμων.
εἴρηκα μέν νυν ταῦτα· σοὶ δ' ἤδη, γέρον,
τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος.
νὼ δ' ἔξιμεν· καιρὸς γάρ, ὅσπερ ἀνδράσιν
μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης.

ΗΛΕΚΤΡΑ

ἰώ μοί μοι δύστηνος.
ΠΑΙ. *καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς*
ὑποστενούσης ἔνδον αἰσθέσθαι, τέκνον.
ΟΡ. *ἆρ' ἐστὶν ἡ δύστηνος Ἠλέκτρα; θέλεις*
μείνωμεν αὐτοῦ κἀπακούσωμεν γόων;
ΠΑΙ. *ἥκιστα. μηδὲν πρόσθεν ἢ τὰ Λοξίου*

71. 72 del. Herwerdenus exerc. crit. p. 113 Schenkelius ztschr. f. oest. gymn. 1869 p. 538 || 72—76 del. Schoellius, 72 Morstadtius p. 11 | *ἀρχαιοπλούτων δ' ἀποκαταστάτην* Herwerdenus || 73 *μέν νυν* e^2 Brunckius: *μεν νῦν* L *μὲν νῦν* L^2le *μὲν* omisso *νυν* pg *μέντοι* Blomfieldus || 75 *νώ* L^2pg: *νῶι* Ll *νῶ* e | *ἀνδράσιν* g: *ἀνδράσι* Llpe || 76 *ἔστ'* Llpeg | *ἐπικρατής* Eggertus quaest. soph. p. 34 || 77 *Ἠλέκτρα* om. g | *ἰώ μοι μοί* Llpe *ἰώ μοι μοι* g *ἰωμοιμοῖ* Ellendtius lex. sophocl. I p. 858 *ὤ μοί μοι* Hermannus | *δύστηνος* del. Dindorfius || 79 *ὑπὸ στενούσησ* l | *ἔνδοθεν* e | *αἴσθεσθαι* l || 80 *ΟΡ.* om. pe add. e^2 | *ἐστὶ* p. *ἐστὶν ἠλέκτρα δύστηνοσ* g | *ἠλέκτρασ* eraso *σ* Le *ἠλέκτρασ* restituit L^2 *ἠλέκτρα;* e^2 || 81 *κἀπακούσωμεν* Nauckius Herwerdenus ad Oed. Reg. p. 79: *κἀνακούσωμεν* Llpeg || 82 *ΠΑΙ* e^2 in litura *ὀρέ.* p | *ἤκιστα* l

τὴς ψαλτὴς ⟨Lv: *καλλυντὴς* etym. magn.⟩ *πραϋντής.* ⟨Lv: om. g. conf. Herodianus Lenzii I p. 77.⟩ || 72 *ἄρχοντα πλούτου, καὶ τὴν ἀρχαίαν τύχην ἀποληψόμενον* ⟨Suidas *ἀρχέπλουτον*⟩. | * Suidas *καταστάτης· Σοφοκλῆς 'ἀλλ' — δόμων'· ἀντὶ τοῦ εὐτρεπιστήν.* * || 75 ⟨*νῦν ἔξιμεν* add. g⟩ *ἐξιέναι* ⟨*νῦν ἐξιέναι* v⟩ *βούλονται, διὰ τὴν εἴσοδον τοῦ χοροῦ* ⟨*καιροῦ* g⟩. | *καιρὸς γὰρ ὅσπερ ἀνδράσιν: ἐφ' ἑκάστου πράγματος τὸ καίριον καὶ* ⟨*καίρ. καὶ* del. Iahnius⟩ *χρησιμώτατον ὁ καιρός ἐστιν· ὅπου καὶ τὰ σπουδαῖα παρὰ καιρὸν γινόμενα οὐκ ἀποδέχονται, ὡς ἰατρὸν τῷ κάμνοντι περὶ τῆς φύσεως τοῦ νοσήματος διαλεγόμενον, ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο* ⟨Suidas *καιρός. ἐπιστάτης*⟩. || 78 *καὶ μὴν θυρῶν ἔδοξα: θαυμαστῶς ὁ γέρων οὐκ ἐπιβέβηκεν τῷ ἀληθεῖ. τινὲς δέ· ἀποστῆσαι βουλόμενος τὸν Ὀρέστην 'προσπόλων τινὸς' φησίν.* | *τὸ ἑξῆς· ἔνδον θυρῶν.* || 80 *ἆρ' ἔστιν ἡ δύστηνος: ὑπὸ νεότητος Ὀρέστης παράγεται* ⟨*πρὸς τὸ* add. g⟩ *φιλοπευστεῖν· ὁ δὲ πρεσβύτης τὸ χρήσιμον σκοπεῖν ἀναγκάζει.* || 81 *ἐπακούσωμεν.* ⟨*ἐκ δευτέρου ἀκούσωμεν.* e⟩ || 82 *μηδὲν πρόσθεν: ἅμα μὲν εἰς τὸ χρήσιμον συμβουλεύει πείθεσθαι τῷ θεῷ, ἅμα δὲ καὶ πρὸς τὴν ὑπόθεσιν· διελύθη γὰρ ἂν τὸ πᾶν ἐξαρχῆς μηνυθέντος Ὀρέστου.*

πειρώμεθ' ἔρδειν κἀπὸ τῶνδ' ἀρχηγετεῖν
πατρὸς χέοντες λουτρά· ταῦτα γὰρ φέρει
νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων.

ΗΛ. *ὦ φάος ἁγνὸν*
καὶ γῆς ἰσόμοιρ' ἀήρ, ὥς μοι
πολλὰς μὲν θρήνων ᾠδάς,
πολλὰς δ' ἀντήρεις ᾔσθου

83 *ἔρδειν* pg | *ἀπὸ* e | *ἀρχεγετεῖν* L corr. E *ἀρχὴν ἑλεῖν* Morstadtius p. 2 || 84 *πατρὸ σχεσοντεσ* L, *ευ* add. E | *φέρειν νίκην τε φημὶ* Turnerius || 87 *καὶ γῆς* versui 86 addit L | *ἰσόμοιρ'* Porsonus tracts p. 221 *ἰσόμ∗ρ'* (*οι* supra) vindobonensis: *ἰσόμοιρος* Llpeg Suidas (*φάος*) *ἰσόμορος* Bergkius | *∗ήρ* e, corr. e[1] | *ὅσ* e (corr. e[2]) g || 89 del. aut *ᾔσθου* corruptum iudicat Morstadtius p. 12 | *ἀντήρης* p corr. p[1]

86 *ὦ φάος ἁγνόν*: *ὀλόφυρσίς ἐστι τῆς Ἠλέκτρας ἐν ταῖς μονῳδίαις, ὅπερ σύνηθες τοῖς τραγικοῖς κινητικὸν τοῦ πένθους* ⟨*πάθους* v⟩. *τοῦτο δὲ τὸ πρόσωπον εὔνουν ἐστὶ τῷ ἀποθανόντι. ἐπεὶ δὲ ἀηθές ἐστι πρὸς τοὺς θεατὰς ἢ πρὸς ἑαυτὴν ταῦτα διαλέγεσθαι, ὡς ἀπομεμφομένη τοῖς θεοῖς ἢ μάρτυρας τῶν θρήνων καλοῦσα πρὸς τὰ στοιχεῖα ποιεῖται τὸν λόγον· καὶ οὕτως ἡμῖν δηλωθήσεται, ὅπως διέκειτο ἐπὶ τῷ συμβάντι κατὰ* ⟨*πρὸς* v⟩ *τὸν πατέρα.* || 87 *ἰσόμοιρον δὲ φησὶν εἶναι τὴν γῆν τῷ ἀέρι, παρ' ὅσον παρατείνειν ἀλλήλοις τὰ στοιχεῖα πρέπει· καὶ τοῖς φιλοσόφοις ἴσος δοκεῖ εἶναι κατὰ τὴν ἀνάλυσιν ὁ ἀὴρ τῇ γῇ* ⟨h: *τῆς γῆς* Lv⟩. *συνέστραπται γὰρ ἡ γῆ· εἰ δὲ διαλυθῇ, ἰσωθήσεται αὐτῷ. οὕτως ἔχει καὶ τὸ Ἡσιόδειον* ⟨theog. 126⟩ '*Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ Οὐρανόν*'. | *ἰσόμοιρον δὲ γῆς ἀέρα τὸν σκότον φησίν, ἵνα τὸ φάος ἁγνὸν ἀντιδιαστέλληται. καὶ γῆς φησὶν ἰσόμοιρος ἀήρ, ἴσην μοῖραν ἔχων* ⟨ed. rom.: *ἔχον* L⟩ *τῇ γῇ, πανταχοῦ γάρ ἐστιν ἀήρ·* ⟨*ἴσην — ἀήρ* om. v⟩ *ἢ ὅτι γῆ καὶ ἀὴρ στοιχεῖα, ἰσότιμα γὰρ τὰ τέσσαρα στοιχεῖα ἀλλήλοις. τινὲς δέ* ⟨*λέγουσιν* add. v⟩, *ὅτι μέση ἀέρος ἐστὶν ἡ γῆ διὰ τὰ ἀπὸ κέντρου διαστήματα· ἰσόμοιρος οὖν διὰ τὸ ἴσον ἀπέχειν πανταχόθεν τῆς γῆς. καὶ ταῦτα δὲ* **Φερεκράτης** *παρῴδηκεν* ⟨*παρέδωκεν* h⟩. | *τὸ δὲ ἀὴρ τὸ ᾱ συνέστειλεν διὰ ῥυθμὸν ἢ μέτρον.* | *ὥς μοι πολλὰς μὲν θρήνων*: *ὦ φάος ἁγνόν, ὅσα μοι σύνοιδας θρηνούσῃ καὶ κοπτομένῃ. τὸ δὲ κατάλληλον οὕτως· ὡς πολλὰς μὲν ᾠδὰς τῶν θρήνων* ⟨*τῶν θρ.* g: om. Lv⟩ *ᾔσθου, πολλὰς δὲ πληγὰς αἱμασσομένων τῶν στέρνων.* || 89 *πληγὰς. ἀντήρεις*: *τραγικώτερον δέ πως ἀπήγγελται, ὥστε τὴν διάλυσιν αὐτῶν μὴ πάνυ πολιτικὴν εἶναι· μετῆκται* ⟨*μετήνεκται* g⟩ *δὲ ἀπὸ τῶν ἐρεσσόντων· οἷον πληγὰς κατὰ τὸ ἐναντίον τῶν στέρνων ἐλαυνομένας.* | *ἀντήρεις*: *ἀντιθέτους, ἀντὶ τοῦ ἴσας τοῖς θρήνοις. μετῆκται* ⟨*δὲ* add. g⟩ *ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐρέσσωσιν καὶ μὴ εἰς θάτερον περιωθῆται* ⟨Suid. et Hes.:

στέρνων πλαγὰς αἱμασσομένων,
ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
τὰ δὲ παννυχίδων ἤδη στυγεραὶ
ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,
ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν
φοίνιος Ἄρης οὐκ ἐξένισεν,
μήτηρ δ' ἡμὴ χὠ κοινολεχὴς
Αἴγισθος ὅπως δρῦν ὑλοτόμοι
σχίζουσι κάρα φονίῳ πελέκει·

90 πληγὰς ς | αἱμασσομένων del. Wexius progr. suerin. 1863 p. 15 || 91 ὃ πόταν L ὁππότ' ἂν l | *πολειφθῇ e, corr. e^1 aut e^2 ἐπιλείπῃ Morstadtius || 92 αἰαῖ στυγεραὶ Morstadtius ἔνδον στυγεραὶ Wecklinus art. p. 55. παννυχίδων, ἢ μὴν Michaelis | γρ. στυγερὰ g^2 in margine || 93 οἴκων Epe: οἰκιῶν Llg λέκτρων Wecklinus || 95 αἴαν L corr. E || 96 ἐξένισεν Ll: ἐξείνισεν E ἐξένισε e?g ἐξείνισε pe^1 ἐξήνυσε Iohnsonus Reiskius ἐνάριξεν van Gent Mnemos. VII p. 222 || 97 μήτηρ superiori versui add. L | ἡμὴ g: ἡ 'μὴ Lpe ἡ μὴ l || 98 ὑλοτομου L οι superscr. E ὑλοτόμοι E || 99 φοινίωι Llg | πέλεκει L corr. E

περιωθεῖται L παρωθεῖται g περιενθεῖται v⟩ ἡ ναῦς. ἀντήρεις οὖν ἀντικτυπούσας τοῖς θρήνοις· θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον. ⟨Suidas et Hesychius ἀντήρεις. cf. ETYM. MAGN. p. 112 ἀντήρεις· ἀνταθέτους, ἀντερέσσοντας. Διογενιανός.⟩ | ἀντὶ τοῦ ἔμαθες. || 90 διὰ τούτων ἡ ἐπίτασις. || 91 ὁπόταν δνοφερά: ὅσα μέν, φησί, διὰ νυκτὸς κλαίω, αἱ εὐναὶ ἴσασιν· ὅσα δὲ δι' ἡμέρας, ὁ ἀὴρ καὶ τὸ φῶς. | λέγει δὲ ὅτι οὐ διαλείπω οὔτε νυκτὸς οὔτε ἡμέρας κλαίουσα ⟨Suidas φάος⟩. | παρέλθῃ. || 94 ὅσα τὸν δύστηνον: ⟨διὰ δὲ τοῦ ἑξῆς τοῦ ὅσα τὸν δυστυχῆ v⟩ κατὰ βραχὺ ἐνδείκνυσι τὰ τῆς ὑποθέσεως· ἰδοὺ γὰρ ἔγνωμεν ὅτι ἀδελφὴ τοῦ Ὀρέστου, καὶ διὰ τί θρηνεῖ. ⟨πρὶν γὰρ ἠμφιβάλλετο εἴτε Ἠλέκτρα ἐστὶν εἴτε πρόσπολος add. h⟩ || 95 ὃν κατὰ μὲν βάρβαρον: παρὰ τὸ τοῦ ⟨ὑπὸ L⟩ Ἀγαμέμνονος ἐν τῇ νεκυίᾳ ⟨λ 408. περὶ τοῦ Ἀγαμέμνονος ἐν τῷ ᾅδῃ λεχθέντα g⟩ 'οὔτε μ' ἀνάρσιοι ἄνδρες' καὶ τὰ ἑξῆς. πάνυ δὲ περιπαθὴς ὁ λόγος, εἰ καὶ πολεμίων πικροτέρα ἐφάνη Κλυταιμνήστρα τῷ ἰδίῳ ἀνδρί· πάνυ γὰρ περιπαθὲς ⟨πικρὸν g⟩ τὸ ἐπὶ τηλικούτου καὶ τοσαῦτα διαπραξαμένου [τὸ] ⟨del. Brunckius⟩ εἰπεῖν 'ὅπως δρῦν ὑλοτόμοι'. | οὐκ ἐξένισεν δὲ ἀντί τοῦ οὐκ ἀπέκτεινεν· 'ξένια γὰρ Ἄρεως τραύματα καὶ ⟨καὶ Suidas: om. Lghv⟩ φόνοι'. καὶ Ἀρχίλοχος 'ξείνια ⟨Suidas: ξένια Lghv⟩ δυσμενέσιν ⟨h Suidas: δυσμενέσι g δυσμενέεσσι L⟩ λυγρὰ χαριζόμενοι'. ⟨Suidas ἐξένισεν. ξενία⟩ | πανὺ περιπαθῶς, πικροτέραν γενέσθαι τῷ Ἀγαμέμνονι καὶ πολέμου ⟨πολεμίου Trendelenburgius gramm. iud. p. 125⟩ καὶ ἀλλοδαπῆς τὴν Κλυταιμνήστραν. ⟨om. gv⟩

κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης
ἢ 'μοῦ φέρεται, σοῦ, πάτερ, οὕτως
αἰκῶς οἰκτρῶς τε θανόντος.
ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων
στυγερῶν τε γόων,
ἔστ' ἂν [λεύσσω] παμφεγγεῖς ἄστρων
ῥιπάς, λεύσσω δὲ τόδ' ἦμαρ,
μὴ οὐ τεκνολέτειρ' ὥς τις ἀηδὼν
ἐπὶ κωκυτῷ τῶνδε πατρῴων
πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.

100 *ἀπ' ἄλλης ἢ 'μοῦ* del. Nauckius || 101 *ἢ 'μοῦ* del. Bothius | *ἢ 'μοῦ φέρεται* del. Hamacherus | *οὕτωσ* g *οὗτος* g^1 del. Bothius || 102 *αἰκῶς* Hermannus (*ἀεικῶς Σ ἀϊκῶς* Brunckius): *ἀδίκως* LlpegΣ || 103 *οὐδὲ μὲν δὴ* g deleto *δὴ* || 105 *ἔστ' ἂν* superiori versui tribuit L *ἔσ*' ἂν* g *ἔσ τ' ἂν* g^2 | *λεύσσω* del. Hermannus *λεύ*ω* p corr. p^1 | *ἄστρων* del Dobraeus advers. II p. 49 Monkius Sanderus beitr. I p. 39 || 106 *ῥιπᾶς λεύσω* g corr. g^1 | *δὲ τόδ'* Lpeg: *δὴ τὸ δ'* l *δ'* Hermannus ad Eurip. Hec. p. 76 ed. I. *λεύσσω δ' αὖ φάος ἀελίου* Steinhartus || 107 *τεκνολέτειρα* g | *ἀηδῶν* e *ἀοιδῶν* e^2 ut videtur || 108 *κωκυτῷ* Blpe^2g: *κωκυτῶν* L Suidae cod. A *κυκωτῶ* e? | *τήνδε* Musgravius | *πατρῷον* ut videtur p corr. p^1 || 109 *κωκυτῶν τ. π. προθύρων* Wolffius | *ἠχῶ* e *ἠχὴν* Nauckius (euripid. stud. II p. 32)

101 *ἢ 'μοῦ φέρεται: εἰ δὲ καὶ τὰ τῆς Χρυσοθέμιδος παράκειται, αὕτη γε διὰ τὸ πάνυ ἀλγεῖν οὐδένα κατ' ἀξίαν φροντίζειν τῶν γεγονότων οἴεται ἢ μόνην αὐτήν.* || 102 *ἀδίκως οἰκτρῶς: ἐν τῷ ὑπομνήματι κεῖται* ⟨Iahnius : *ἔν τισιν ὑπόκειται* L. *ἔν τι ὑπόκειται* gv *ἔν τισι κεῖται* Dindorfius⟩ *ἀντὶ τοῦ ἀδίκως ἀεικῶς.* | *καὶ οἰκτρῶς μὲν διὰ τὸ βίᾳ καὶ ἐπιβουλευθέντα, ἀεικῶς δὲ ὅτι πελέκει αὐτὸν μεθ' ὕβρεως ἐτίσατο* ⟨*ἐτίσαντο* g Suidas⟩ ⟨Suidas *ἀεικῶς*⟩. * Hesychius *ἀεικῶς· ἀπρεπῶς, χαλεπῶς. αἰκῶς· ὑβριστικῶς, χαλεπῶς.* * || 103 *ἀλλ' οὐ μὲν δὴ λήξω: ὁ νοῦς· ἀλλ' οὐ λήξω θρήνων* ⟨*θρηνοῦσα* v⟩ *οὔτε ἡμέρας οὔτε νυκτός,* ⟨*καὶ* add. v⟩ *ὀδυρομένη ἕως ἂν νύκτα καὶ φῶς βλέπω, ὥστε μὴ ἀηδόνος τρόπῳ ἠχώ τινα προπέμπειν τῶν θρήνων πρὸ τῶν πατρῴων θυρῶν* ⟨Suidas *ῥιπάς*⟩. || 107 ⟨*μὴ οὕτως θρηνεῖν καὶ κωκυτὸν δηλαδὴ καὶ ἔμπροσθεν τῶν θυρῶν σὺν βοῇ φέρειν.* g⟩ | ⟨*ἱστορία περὶ τῆς Ἀηδόνος. μὴ οὐ τεκνολέτειρα: ἱστορία οὕτως ἔχουσα. Ζῆθος καὶ Κέλαης* ⟨i. e. *Κάλαϊς*⟩ *ὑπῆρχον ἀδελφοί, καὶ ἔσχον γυναῖκας ὁ μὲν Ζῆθος τὴν Ἀηδόνα, ὁ δὲ Κέλαϊς τὴν Χελιδόνα. καὶ ἔσχον ἀμφότεροι ἀνὰ ἑνὸς τέκνου· καὶ τὸ μὲν ὄνομα τοῦ τέκνου τοῦ Ζήθου καὶ τῆς Ἀηδόνος Ἴτυς, τοῦ δὲ Κέλαϊ . . . . . ζηλοτυπήσασα οὖν ἡ Ἀηδὼν ἠβουλήθη ἀνελεῖν τὸ τοῦ Κέλαϊ τέκνον· καὶ ἐλθοῦσα νυκτὸς ἀνελεῖν τὸ τοῦ Κέλαϊ τέκνον ἀνεῖλεν τὸ ἴδιον τέκνον τὸν Ἴτυν· καὶ αἰεὶ* ⟨*αἴ τι* v⟩ *θρηνεῖ τὸ ἴδιον τέκνον.* v⟩ || 108 *τὴν ἐπὶ κωκυτῷ* ⟨*τῶν κωκυτῶν* g⟩ *ἠχώ, τουτέστι θρηνητικήν.*

ὦ δῶμ' Ἀίδου καὶ Περσεφόνης,
ὦ χθόνι' Ἑρμῆ καὶ πότνι' Ἀρὰ
σεμναί τε θεῶν παῖδες Ἐρινύες,
αἳ τοὺς ἀδίκως θνῄσκοντας ὁρᾶτε
† τοὺς εὐνὰς ὑποκλεπτομένους,
ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς
φόνον ἡμετέρου,
καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν.
μούνη γὰρ ἄγειν οὐκέτι σωκῶ
λύπης ἀντίρροπον ἄχθος.

ΧΟΡΟΣ

ὦ παῖ, παῖ δυστανοτάτας (στρ. α')

110 δόμ' g | ἀίδου L(corr. E)l | Περσεφόνης L ο in lit. || 111 γρ. ποινία ἀρά E | Ἄτα Musgravius || 112 τ' ὦ θεῶν Eggertus quaest. soph. p. 28 | θεῶν παῖδες om. Suidas παῖδες del. Hermannus ad Eurip. Hec. p. 76 Σκότου παῖδες Froehlichius θεῶν ἀρχαιογόνων παῖδες Reisigius enarr. Soph. Oed. Col. 41 | ἐρινύες Llg: ἐριννύες peg¹ Ἐρινῦς Nauckius || 113. 114 del. Dindorfius. αἳ τοὺς εὐνὰς ὑποκλεπτομένους καὶ τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτ' Hamacherus αἳ — ὁρᾶτ', ἔλθετ', ἀρήξατε, * * τοὺς τὰς εὐνὰς ὑποκλ. τίσασθε Monkius εἰ τοὺς ἀδ. θν. ὁρᾶτ', ἔτι τούς γ' εὐνὰς Burgesius ad Eurip. Tro. p. XXI et ad Aesch. suppl. 77 αἳ τοὺς θνήσκοντας ὁρᾶτ' ἀδίκως τοὺς τὰς εὐνὰς Bothius αἳ τούς ἀδίκως' θνήσκοντας, ὁρᾶτε δὲ τοὺς εὐνὰς' Schneidewinus | θνήσκοντας Llpeg | ὁρᾶτ' deleto v. 114 Porsonus tracts p. 221. 315 || 114 τὰς e vindobonensis τούς τ' ς τοὺς τὰς Suidae cod. A ἀπάταις Reisigius | τοὺς εὐνὰς del. Kolsterus philol. V p. 214 αἳ τοὺς εὐνὰς Dobraeus adv. II p. 49 εἰς τοὺς εὐνὰς Elmsleius καὶ τοὺς εὐνὰς Hermannus ad Eurip. Hec. p. 76 εὐνάς τε κακῶς Heimsoethius krit. stud. I p. 280 εὐνάς τ' αἰκῶς Eggertus quaest. soph. p. 28 αἰσχρῶς λέκτρων προδότους εὐνὰς Hermannus ἐσορᾶτε δὲ τοὺς αἰκῶς εὐνὰς Martinus progr. posnan. 1858 p. 27 || 115 ἔλθετ' ἀρωγοί Nauckius | τίσασθε om. Suidas || 119 ἄγειν om. Suidas | γρ. σώζω g || 120 ἀντίρροθον Apollonius | γρ. ἄχος g || 121 ὦ Triclinius (paris. 2711): ἰώ Llpeg | παῖ alterum om. eg

110 * Svidas Περσεφόνη· κατάγειος δαίμων. Ἠλέκτρα φησίν 'ὦ δῶμ' — ἡμετέρου'. * || 112 σεμναί τε θεῶν: εὐφήμως, ὡς καὶ τὸ Εὐμενίδες. || 119 μούνη γὰρ ἄγειν: ἢ τὸ καταβαροῦν καὶ καταφερόμενον, ὃ φέρειν οὐ δύναμαι, ἢ ἐπὶ τοῦ Ὀρέστου ἀκούειν δεῖ οὕτως τὸ ἀντίρροπον, ὅπερ ἂν εἶχεν ἐκεῖνος φέρειν παρών, ὥστε κοινῇ ἡμᾶς αὐτὸ φέρειν· μόνη γὰρ φέρειν οὐκέτι ἰσχύω. ⟨cf. Apollonius lex. hom. σωκος· — καὶ Σοφοκλῆς εἰσάγει τὴν Ἠλέκτραν λέγουσαν 'μούνη — λύπης ἀντίρροθον ἄχθος', ἀντὶ τοῦ οὐκέτι ἰσχύω.⟩ | ἀντὶ τοῦ ἰσχύω· οἱ δὲ νεώτεροι ἀντὶ τοῦ σώζω ⟨Suidas σωκῶ⟩. ⟨δύναμαι τὸ ἐναντιούμενον ἡμῖν βάρος τῆς λύπης. add. g⟩ || 121 ἰὼ παῖ παῖ: πάροδός ἐστι χοροῦ γυναικῶν τῇ Ἠλέκτρᾳ συναχθομένων. |

Ἠλέκτρα ματρός, τίν' ἀεὶ
τάκεις ὧδ' ἀκόρεστον οἰμωγὰν
τὸν πάλαι ἐκ δολερᾶς ἀθεώτατα
ματρὸς ἁλόντ' ἀπάταις Ἀγαμέμνονα
κακᾷ τε χειρὶ πρόδοτον; ὡς ὁ τάδε πορὼν
ὄλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾶν.
ΗΛ. *ὦ γενέθλα γενναίων* [*πατέρων*]
ἥκετ' ἐμῶν καμάτων παραμύθιον.
οἶδά τε καὶ ξυνίημι τάδ', οὔ τί με
φυγγάνει, οὐ δ' ἐθέλω προλιπεῖν τόδε,
μὴ οὐ τὸν ἐμὸν στενάχειν πατέρ' ἄθλιον.
ἀλλ' ὦ παντοίας φιλότητος ἀμειβόμεναι χάριν,

122 *ἠλέκτρας* p | *τὸν ἀεὶ τάκεις σῶμ' ἀκόρετον οἰμώζουσα* Hertelius progr. torgav. 1856 p. 6 *τί μ' ἀεὶ τ. ὧδ' ἀκ. στενάχουσα* Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 9 *τίς ἀεὶ τάκει σ' ὧδ' ἀκόρεστος* (vel *ἀκόρεστον*) *οἰμωγά* Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 398 || 123 *λακεῖς* Reiskius *κλαίεις* Froehlichius *λάσκεις* Schwerdtius *τάκει* Kvíčala | *οἰμωγὰν ὧδ' ἀκόρεστον* Wolffius | *ἀκόρετον* pc *ἀκορὲς τὰν* 'G.' ztschr. f. gymn.-w. 1863 p. 612 | *οἰμωγὰν* corruptum putat Nauckius || 124 *ἀθεώτατα* Erfurdtius Porsonus tracts p. 221: *ἀθεωτάτας* LlpegΣ || 125 *ἁλόντα πάγαις* Nauckius euripid. stud. I p. 37 *ἁλόντα πάλαις* Σ? Wolffius | *ἀπάτῃ ἀγαμέμνονα* e (*η* (?) *α* in litura) || 126 *ὧσ* Lpe || 127 *ὁ — πορὼν* separato versu L || 128 *ταῦτ'* g || 129 *γενέθλα* L²lp: *γένεθλα* Lg *γένεθλα* e | *πατέρων* Llpeg *γρ. τοκήων* e *τοκέων* vindobonensis del. Monkius Hermannus elem. doctr. metr. p. 435 || 131 *τὰ δ'* l | *οὔτι με* pe *οὔτε με* e² || 132 *οὐ δ' ἐθέλω* Buttmannus (*οὐδ' ἐθέλω* e): *οὐδ' αὖ θέλω* L (*δὲ* supra *δ'* L²) e²g *οὐ δ' αὖ θέλω* l *οὐδὲ* (*οὐδ'* p¹) *'θέλω* p *οὗ δ' ἐθέλω* Hermannus | *τόγε* l¹ || 133 *στενάχειν* Elmsleius ad Soph. Oed. Tyr. 181: *στοναχεῖν* Lpeg *στεναχεῖν* l || 134 *ἀλλ' — παντοίας* separato versu L | *ὢ* l | *φιλότατος* e

δυστανοτάτας δὲ τῆς ἐξωλεστάτης· οὐ γὰρ ἐπὶ οἴκτου ἐστὶν ὁ λόγος ⟨Suidas *δύστηνος*⟩. || 122 *ἀντὶ τοῦ διὰ τί τήκῃ τῇ ἀκορέστῳ οἰμωγῇ.* || 124 *ἀσεβοῦς.* || 125 *μητρὸς ἁλόντα πληγαῖς.* || 126 *λίαν αἰδήμων ὁ χορός, ὃς ἐπὶ τὸν Αἴγισθον τρέπει τὴν αἰτίαν· καὶ γυναικῶν* ⟨*γυναικῶν γὰρ* v⟩ *ἐστὶν ἴδιον τὸ μηδὲ ἐπὶ τοῖς προφανέσιν ἁμαρτήμασιν καταλέγειν ἄλλης γυναικός. καὶ τὸ εἴ μοι θέμις τάδ' αὐδᾶν λίαν ἠθικὸν καὶ ἁρμόζον γυναιξίν· ἐπεὶ κατ' ἀρχόντων* ⟨*ἦν* add. L, om. g⟩ *ὁ λόγος ἢ ἐπεὶ δοκεῖ δυσφημεῖν, φησίν· εἰ δίκαιόν ἐστιν, οὕτως εὔχομαι.* || 129 *ὦ παῖδες τῶν εὐγενῶν Μυκηναίων.* || 130 *ἥκετ' ἐμῶν καμάτων: οἶδα, φησίν, ἃ πράττω, καὶ οὐ λανθάνει με ὅτι ὑπὲρ τὸ δέον ποιῶ. ἢ οἶδα ὅτι μοι εὐνοεῖτε·* ⟨*τοῦτο δὲ φησὶν* add. g⟩ *ἵνα συνάπτῃ τῷ προκειμένῳ 'ἥκετ' ἐμῶν καμάτων παραμύθιον'. ἄμεινον δὲ τὸ πρῶτον.* || 134 *τοιοῦτοι γὰρ πολλάκις οἱ ἐν τοῖς πάθεσι παρηγορούμενοι, παρακαλοῦντες συγχωρεῖσθαι θρηνεῖν.*

ἐᾶτέ μ' ὧδ' ἀλύειν,
αἰαῖ, ἱκνοῦμαι.
ΧΟ. *ἀλλ' οὔτοι τόν γ' ἐξ Ἀίδα* (ἀντ. α')
παγκοίνου λίμνας πατέρ' ἀν-
στάσεις οὔτε γόοις † οὔτε λιταῖσιν.
ἀλλ' ἀπὸ τῶν μετρίων ἐπ' ἀμήχανον
ἄλγος ἀεὶ στενάχουσα διόλλυσαι,
ἐν οἷς ἀνάλυσίς ἐστιν οὐδεμία κακῶν.
τί μοι τῶν δυσφόρων ἐφίῃ;

135 *ἀλύειν* Suidas || 136 *αἰαῖ* Hermannus: *αἲ αἲ* L *αἴ αἴ* Elpe *εε* superscr. l^1 *αἶ αἶ* g *αἰαῖ αἰαῖ* Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 10 | *ἰκνοῦμαι* g *ἱκνοῦμαι ἱκετεύω ὑμῶν* vindobonensis || 137 *τόνδ'* p *τόν∗* e *τὸν* e^2 | *ἐξ ἀΐδα* l^1 *ἐξαΐδα* pg *γρ. ἀΐδαο* g || 138 *∗ίμνας* e, corr. e^1 | *∗∗τέρ'* L corr. E || 139 *γόοισιν* Triclinius | *οὔτε λιταῖσιν* Lleg *οὔτε λιταῖς* p *οὐ λιταῖς* Triclinius *οὔτ' ἄνταις* Hermannus ⟨Hesychius *ἀντήσει* [*ἄντησι* Hermannus]· *λιτανείαις, ἀντήσεσιν*⟩ *οὔτ' εὐχαῖς* Erfurdtius *οὐ λοιβαῖς* IHRichter de Aesch. Soph. Eur. interpr. p. 47. *οὔτε λιταῖσιν, οὐ θρήνοις* Reisigius comm. crit. Soph. Oed. Col. 1564. *πατέρα γόοις οὔτε λιταῖσιν ἀνστάσεις* Bergkius || 141 *φρέν' ἄγουσα* Wakefieldus silv. crit. IV p. 182 | *διόλυσαι* e || 142 a praecedentibus separatum cum sequentibus coniungit Brunckius | *οἷσιν ἔστ' ἀνάλυσις* (vel *ἀνάδυσις*) Nauckius *οἷσιν οὐ πάρα λύσις* Morstadtius p. 12 | *ἀνάδυσις* Badhamus | *ἀνάλυσις ἐστὶν* eg | *οὐ δὲ μία* leg | *δεμία κακῶν* separato versu L | *κακῶν* om. Suidas || 144 *ἐφίει* vulgo

135 *ἀλύειν: τὸ ἐν ἄλῃ* ⟨Suidas: *ἐν ᾱλῃ* h *ἐν ἄλλῃ* h^2 *ἐν ἄλλῳ* Lv *δὲ τὸ ἀδημονεῖν* ⟨conf. Suidas *ἀλύει*⟩ *καὶ* g⟩ *δυσφορεῖν σημαίνει· ἐνίοτε δὲ τὸ γεγηθέναι, ἀπὸ τῆς ἀλέας καὶ διαχύσεως. Ὅμηρος* ⟨σ 333⟩ *'ἦ* ⟨*ἢ* Lg⟩ *ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην'.* ⟨Suidas *ἀλύειν*, addens *ὅθεν καὶ δασύνεται. Σοφοκλῆς 'ἐᾶτέ μ' ὧδ' ἁλύειν'. ἐπὶ δὲ τοῦ δυσφορεῖν καὶ ψιλοῦται. — Δίδυμος δὲ ἀμφότερα ψιλῶς· τὸ μὲν γὰρ ἀπὸ τοῦ ἀλεαίνεσθαί φησιν, τὸ δὲ ἀπὸ τῆς ἄλης. Ἀττικώτερον δὲ τὸ ἀμφότερα δασύνειν· καὶ γὰρ τὸ ἀλεαίνεσθαι δασύνουσιν οἱ Ἀττικοὶ καὶ πάντα τὰ τοιαῦτα* ⟨cf. Bekkeri anecd. p. 380. Eustathius ad Hom. *ι* 398 p. 1636.⟩ || 137 *Ὅμηρος·* ⟨L: *καὶ τοῦτο παρὰ τῷ Ὁμηρικῷ* ⟨*τὸ Ὁμηρικὸν* Dindorfius⟩ g *Ὁμηρικὸν δέ ἐστιν* v⟩ *'οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο'* ⟨Ω 524⟩. || 138 *εἰς ἣν ἅπαντας ἀφικέσθαι* ⟨v Suidas: *ἐφικέσθαι* L⟩ *δεῖ* ⟨Suidas *πάγκοινος*⟩. || 139 *οὔτε γόοις οὔτε λιταῖσιν: οὔτε ὀδυρομένη οὔτε παρακαλοῦσα τοὺς θεοὺς* ⟨*τὸν σὸν ἀναστήσεις τὸν πατέρα* add. v, *παρακαλοῦσα ἀναστήσεις τὸν Ἀγαμέμνονα καὶ λιτανεύουσα τοὺς ἐν ᾅδῃ θεούς* add. g⟩. *καὶ Αἰσχύλος 'μόνος θεῶν γὰρ* ⟨*γὰρ θεῶν* Lhv *γὰρ θεὸν* g⟩ *Θάνατος οὐ δώρων ἐρᾷ'* ⟨*οὐδ' ὠρέραιεν* g⟩ ∗ *'μόνος* ⟨*μοῦνος δ'* Michaelis⟩ *οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος'.* || 140 ⟨*χαλεπόν, πρὸς ἓν* ⟨*ὅ τι?*⟩ *οὐκ ἔνι τι μηχανήσασθαι* add. g⟩. || 144 *ἐπιθυμεῖς. τί μοι, φησί, τούτων γλίχῃ, ἅπερ ἐστὶν οὐκ εὐκόλως φέρειν, θρήνου καὶ πένθους;* ⟨Suidas *δύσφορα. ἐφίῃ*⟩

ΗΛ. νήπιος ὃς τῶν οἰκτρῶς
οἰχομένων γονέων ἐπιλάθεται.
ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρεν φρένας
ἃ Ἴτυν, αἰὲν Ἴτυν ὀλοφύρεται
ὄρνις ἀτυζομένα, Διὸς ἄγγελος.
ἰὼ παντλάμων Νιόβα, σὲ δ' ἔγωγε νέμω θεόν,
ἅτ' ἐν τάφῳ πετραίῳ,
αἰαῖ, δακρύεις.

145 ἠλ/ versui 144 praescr. g || 146 ἐπιλάθηται g || 147 ἄραρε lpe || 148 Ἴτυν γ' ὀλοφύρεται Triclinius || 150 ἰὼ παντλάμων separato versu L | παντλᾶμον g vindobonensis | νιόβα g η superscr. g[1] | σέ σ' ἔγωγε p | θεῶν g || 151 ἃ γ' Monkius Wecklinus art. p. 45. ἃ κἂν Michaelis || 152 αἰαῖ Hermannus: αἲ αἲ L αἲ αἲ Elpe αἶ αἶ g αἰεὶ ς αἰαῖ αἰαῖ Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 10

145 * Svidas οἰκτρῶς· ἐλεεινῶς. ʽνήπιος — ἐπιλάθεταιʼ. * || 147 ἀλλ' ἐμέ γ' ἁ στονόεσσα: Ἀττικῶς τὸ ἄραρέ με ἀντὶ τοῦ ἤρεσέ μου ⟨μοι g με v⟩ ταῖς φρεσίν. | ἀντὶ τοῦ σύμφωνα πράσσομεν ἐγώ τε καὶ ἡ ἀηδὼν ἕνεκα τοῦ θρηνεῖν. | οἷον συνήρμοσταί μου ταῖς φρεσί ⟨Suidas ἄραρέ με⟩. | τουτέστιν ἐκείνην ζηλῶ τὴν ἀεὶ τὸν Ἴτυν στενάζουσαν ⟨Suidas ἀτυζομένη⟩. | καὶ Ἀριστοφάνης ⟨ran. 103⟩ ʽσὲ δὲ ταῦτ' ⟨ταῦτα L⟩ ἀρέσκειʼ; || 149 ἀτυζομένα: ἐκπληττομένη τοῖς συμβεβηκόσι καὶ ὀδυρομένη ⟨Suidas ἀτυζομένη⟩. | τὸ δὲ Διὸς ἄγγελος, ὅτι τὸ ἔαρ σημαίνει· Ὅμηρος ⟨τ, 518⟩ ʽὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηὶς ἀηδών, καλὸν ἀείδησιν ἔαρος νέον ἱσταμένοιοʼ. ἢ ὅτι τὴν ἡμέραν σημαίνει. ἢ ὅτι τὰ ἑαυτῆς ἀγγέλλει κακὰ καὶ τὴν περιθρυλουμένην ἀγγελίαν καὶ τὸ πάθος. ἢ ἄγγελον εἶπεν οἷον τέρας [καὶ] ⟨om. gv Suidas κατὰ Iahnius⟩ τὸ παρ' αὐτοῦ ⟨αὐτῆς Suidas⟩ γινόμενον εἰς τερατείαν ⟨g: τεραστείαν L⟩ τῆς φύσεως. καὶ Σαπφώ ʽἦρος ἄγγελος, ἱμερόφωνος ⟨ἡμερόφωνος ghv Suidas⟩ ἀηδώνʼ ⟨Suidas ἀηδών⟩. | ⟨ἱστορία. ὁ Τηρεὺς Θρᾷξ ὑπῆρχε καὶ ἔσχε γυναῖκα ⟨om. Δ⟩ μίαν τῶν θυγατέρων τοῦ Πανδίονος, τὴν Πρόκνην, καὶ ταύτην εἰς Θράκην κατήγαγεν. ἐπεθύμησε δὲ μετὰ καιρὸν ἡ Πρόκνη ἰδεῖν τὴν ἀδελφὴν αὐτῆς Φιλομήλαν καὶ τῷ Τηρεῖ εἶπε ταύτην ἀγαγεῖν. οὗτος οὖν ὁ Τηρεὺς φέρων τὴν Φιλομήλαν ἠράσθη αὐτῆς καὶ βιασάμενος ἐμοίχευσεν αὐτήν. φοβηθεὶς οὖν μήπως εἴπῃ τοῦτο τῇ ἀδελφῇ τὴν γλῶτταν αὐτῆς κατέκοψεν ⟨ἀπέκοψεν Δ⟩, ἡ δὲ εἰς τὴν ἀδελφὴν ἐλθοῦσα ἱστὸν ἔστησε καὶ ἐκεῖ διέγραψε τὸν Τηρέα καὶ ὃ αὐτὴν ἐποίησε. γνοῦσα δὲ ἡ αὐταδελφὴ ⟨ἀδελφὴ Δ⟩ ἕψησε τὸν υἱὸν αὐτοῦ, τὸν Ἴτυν, καὶ ἔθρεψεν αὐτόν. καὶ τοῦτο αὐτὸς γνοὺς ἔμελλεν ἀναιρεῖν αὐτάς, αὐταὶ ⟨αὗται Δ⟩ δὲ μετεβλήθησαν εἰς ὄρνεα, ἡ μὲν εἰς ἀηδόνα ἡ δὲ εἰς χελιδόνα, καὶ μέχρι τοῦ νῦν καταδιώκει αὐτὰς ὁ τηρεύς. τοῦ ἔαρος δέ ἐστιν ἡ χελιδὼν ἄγγελος, καὶ ἔστι κεκομμένη τὴν γλῶτταν καὶ ψελλίζει. v et cod. flor. 2788 (Δ).⟩ || 150 ἀντὶ τοῦ ἐν τιμῇ τῶν θεῶν μερίζω σέ. || 151 τουτέστι καὶ ἀπολιθωθεῖσα. Ὅμηρος ⟨Ω 615⟩ ʽἐν Σιπύλῳ, ὅθι φασὶ Τυφωέος

ΧΟ. οὔτοι σοὶ μούνᾳ, τέκνον, ἄχος ἐφάνη βροτῶν, (στρ. β')
πρὸς ὅ τι σὺ τῶν ἔνδον εἶ περισσά,
οἷς ὁμόθεν εἶ καὶ γονᾷ ξύναιμος·
οἵα Χρυσόθεμις ζώει καὶ Ἰφιάνασσα
κρυπτᾷ τ' † ἀχέων ἐν ἥβᾳ,
ὄλβιος, ὃν ἁ κλεινὰ

153 οὔτοι σοι l οὐ τοί σοι g || 154 ἄχος — βροτῶν separato versu L | ἄχθος Lachmannus de chor. syst. p. 159 || 155 πρὸς δὲ τί Morstadtius p. 12 || 156 αἶσ g || 157 οἵα p Erfurdtius: οἷα Llg οἵα e | ζώει — Ἰφιάν. separato versu L || 159 κρυπτᾷ corruptum putat Nauckius | ἀκέων Bergkius FGSchmidtius progr. neostrelit. 1862 p. 8 ἀνθῶν Schenkelius ztschr. f. oest. gymn. 1869 p. 537 ἀνέχων Vsenerus rhein. mus. XXV p. 574 || 160 praefixam in Llpeg Ηλ' personae notam del. Reiskius Tyrwhittus | ὄλβιον Brunckius ἄθλιος Martinus | ά κλειν** L corr. E ἀκλεινά p

⟨θεάων Brunckius⟩ ἔμμεναι εὐνάς'. | ⟨ἱστορία. ἡ Νιόβη ἦν θυγάτηρ τοῦ Ταντάλου καὶ ἔσχεν ἓξ υἱοὺς καὶ ἓξ θυγατέρας. καί ποτε ⟨τότε Δ⟩ ἐκαυχήσατο καὶ εἶπεν ὅτι εὐτεκνοτέρα εἰμὶ τῆς Λητοῦς· ἡ γὰρ Λητὼ εἶχε μίαν θυγατέρα, τὴν Ἄρτεμιν, καὶ ἕνα υἱόν, τὸν Ἀπόλλωνα. μανεῖσα δὲ ἡ θεὸς εἶπε τῷ Ἀπόλλωνι· καὶ ἀνήρηκε τοὺς ἄρρενας, ἡ δὲ Ἄρτεμις τὰς θηλείας. καὶ ἡ Νιόβη τοῦτο παθοῦσα ἀπὸ τῆς λύπης ἀπελιθώθη, καὶ ἀπολιθωθεῖσα ἔτι κλαίει. λέγεται δὲ ὅτι περὶ τὸ Σίπυλον ὄρος ἦν τις ἀγαλματουργός· οὗτος λαβὼν λίθον ἐποίησεν ἄγαλμα τῆς Νιόβης, καὶ πηγὴν εὑρὼν ἔθηκε τοῦτο περὶ τὴν πηγήν, μικρὰν δὲ ῥανίδα ἀπὸ τῶν ὀπισθίων τῆς κεφαλῆς μερῶν τρυπήσας κατήνεγκε διὰ τῶν ὀφθαλμῶν· οἱ δὲ βάρβαροι τοῦτο οὐ νοοῦσι ⟨οἱ — νοοῦσι om. Δ⟩. v et cod. flor. 2788 (Δ).⟩ || 155 περισσά: ἀντὶ τοῦ ἄμετρος ἐν τῷ θρηνεῖν. | περισσῶς, φησίν, ὀδύρῃ παρὰ ⟨περὶ gv⟩ τούτους ⟨τούτοις g⟩, οἷς ἐκ τοῦ αὐτοῦ γένους τυγχάνεις· ὥστε καὶ ἕτερόν τι διδάσκει ἡμᾶς, ὅτι καὶ ἀδελφαὶ αὐτῇ εἰσι δύο μετριώτερον τὴν συμφορὰν φέρουσαι. | πρὸς τὸ ἄχος περισσή. || 157 ἢ Ὁμήρῳ ἀκολουθεῖ εἰρηκότι ⟨Ι 144⟩ τὰς τρεῖς ⟨ζῆν τὰς g⟩ θυγατέρας τοῦ Ἀγαμέμνονος, ἢ ὡς ὁ τὰ Κύπρια διαφόρους φησὶν ⟨Elmsleius: Δφη L διὰ g⟩ Ἰφιγένειαν καὶ Ἰφιάνασσαν. ⟨cf. schol. cod. guelf. Evrip. Or. 23 ¦οὗτος ὁ ποιητὴς γ' λέγει θυγατέρας γεννηθῆναι τῷ Ἀγαμέμνονι, ὁ δὲ Σοφοκλῆς ἐν τῷ β' δράματι τέσσαρας μετὰ τῆς Ἰφιανάσσης.⟩ || 159 κρυπτᾷ τ' ἀχέων: ἢ ⟨Lv: om. g Suidas⟩ ἀχέων μετοχή ἐστιν ἀντὶ τοῦ δυσφορῶν ⟨δυσχεραίνουσα g⟩ ἐπὶ τῷ ⟨g Suidas: τὸ Lv⟩ κεκρύφθαι· ἢ ὁ ⟨L: ὅ ἐστιν ὁ g ὁ v ἀντὶ τοῦ Suidas⟩ ἐν ἥβῃ κρυπτῇ λυπούμενος ⟨Suidas ἀχέων⟩. ⟨plura excidisse censet HStephanus de dial. att. p. 152.⟩ | * Evstathivs ad Hom. Δ 22 p. 440 καινὸν οὖν γένος οὐ μόνον 'ἡ ὑλήεις Ζάκυνθος' καὶ ὅσα τοιαῦτα, ἀλλὰ καὶ τὸ 'ἀκέων Ἀθηνᾶ'. τοιοῦτον κατά τινας καὶ παρὰ τῷ φιλομήρῳ Σοφοκλεῖ τὸ κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ, ἤγουν ἐν ἀφανεῖ ἀχέουσα ἥβῃ, ἡ Ἠλέκτρα δηλαδή. *

γᾶ ποτὲ Μυκηναίων
δέξεται εὐπατρίδαν, † Διὸς εὔφρονι
βήματι μολόντα τάνδε γᾶν Ὀρέσταν.
ΗΛ. ὅν γ' ἐγὼ ἀκάματα προσμένουσ' ἄτεκνος,
τάλαιν', ἀνύμφευτος αἰὲν οἰχνῶ,
δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον
οἶτον ἔχουσα κακῶν· ὃ δὲ λάθεται
ὧν τ' ἔπαθ' ὧν τ' ἐδάη. τί γὰρ οὐκ ἐμοὶ
ἔρχεται ἀγγελίας ἀπατώμενον;
αἰεὶ μὲν γὰρ ποθεῖ,
ποθῶν δ' οὐκ ἀξιοῖ φανῆναι.
ΧΟ. θάρσει μοι, θάρσει, τέκνον. ἔτι μέγας [ἐν] οὐρανῷ (ἀντ. β')
Ζεύς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει·
ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα

161 *γᾶι L || 162 εὐπατρίδαν Διὸς coniungit ASeyffertus progr. brandenburg. 1868 p. 6 | ποδὸς Hauptius ind. schol. berol. 1865 p. 11 | εὔφρονος 'G.' ztschr. f. gymn.-w. 1863 p. 612 || 163 νεύματι Burgesius ad Aesch. suppl. p. 70 Froehlichius λήματι Meinekius ad Oed. Col. p. 251 ῥήματι Mayhoffius commentariol. crit. in Dem. Plat. Soph. p. 18 | μολῶντα l corr. l¹ μολ*ντα e μολεῖν 'G.' ztschr. f. gymn.-w. 1863 p. 612 | τηλέδανον vel τηλέγονον Ὀρέσταν Burgesius || 164 Ηλ. om. Llpeg, a versu 160 huc revocavit Tyrwhittus | ὅν γ' ἐγὼ Hermannus: ὃν ἔγωγ' Llpeg || 165 προσμένουσ' ἄτεκνος separato versu L | ποτιμένουσ' Heimsoethius krit. stud. I p. 368 || 166 μέλεος ἀνύμφευτος Heimsoethius | αὐχμῶ Morstadtius p. 13 || 167 τὸ 'δάκρυσι μυδαλέον' schol. Soph. Ant. 410 | ἀνηνύτων Morstadtius || 168 ὅτλον FGSchmidtius anal. soph. p. 19 | ὁ δὲ λάθεται Ep ὧδ' ἐλάθεται L corr. E ὃ δ' ἐλάθεται l corr. l¹ ὁ δὲ λάθετα e (λάθετο e¹ 'λάθετο e²) ὅδ' ἐλάθετο g || 169 ἔπαθ' Epe: ἔπαθεν Llg | οὐχί μοι Herwerdenus exerc. crit. p. 127 || 170 ἔρχετ' g | ἀγγελίαις ἀπατωμένη Herwerdenus Schenkelius ztschr. f. oest. gymn. 1869 p. 538 ἀγγελίαις ἀπατῶν μ' ἀεί Herwerdenus ἀγγελίαις (vel ἀγγελίᾳ μ') ἀπατῶν ἀεί Morstadtius || 171 ἀεὶ Brunckius || 172 δ' ἀπαξιοῖ Bothius Meinekius ad Oed. Col. p. 252 ⟨Hesychius ἀπαξιοῖ· οὐκ ἀξιοῖ, ὑπερηφανεύεται⟩ δ' οὐ ἀξιοῖ IHHSchmidtius ant. compositionsl. p. XXVI || 173 θάρσοι τέκνον p || 174 ἔτι — οὐρανῷ separato versu L | ἔτι L: ἐστὶ E ἔστι lpeg schol. 823 | ἐν del. Heathius | μέγας ἔτ' ἐν οὐρανῷ Hermannus || 175 κἀπικραίνει Nauckius (mél. gréco-rom. II p. 685) || 176 ὑπεράλγητον g

163 ἀντὶ τοῦ ὁδῷ, πομπῇ. || 164 ἀκάματα: ἀκαμάτως καὶ ἀδιαλείπτως. λέγοι ⟨λέγω Lg⟩ δ' ἂν ταῦτα ἐν ὑποκρίσει. ἢ οὐ κεκμηκότως. || 166 περιέρχομαι ⟨Suidas οἰχνῶ⟩. || 167 διάβροχος τοῖς δάκρυσιν ⟨Suidas μυδαλέας⟩. | ἀτελείωτον ⟨Suidas ἀνήνυτον⟩. || 169 ὧν τ' ἔπαθεν ὧν τ' ἐδάη: ὧν ἔπαθεν παρ' ἐμοῦ εὐεργεσιῶν· διέσωσε γὰρ αὐτόν· ὧν δὲ ἐδάη, ὅτι συνεχεῖς ἔπεμπεν ἀγγέλους δηλοῦσα τὰ κατ' Αἴγισθον. || 176 ᾧ τὸν ὑπεραλγῆ χόλον: ᾧ τινι,

μήθ' οἷς ἐχθαίρεις ὑπεράχθεο μήτ' ἐπιλάθου·
χρόνος γὰρ εὐμαρὴς θεός.
οὔτε γὰρ ὁ τὰν Κρῖσαν
βουνόμον ἔχων ἀκτὰν
παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος
οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.

177 *ἐχθραίρεισ* g || 178 *ὑπεράχθεο — ἐπιλάθου* separato versu L | *ὑπεράχθου* Monkius || 180 *ὅτ' ἂν* g | *Κρῖσαν* ς Hermannus: *κρίσαν* Llpe *κρίσσαν* l^1g *Κρίσᾳ* Musgravius *Κρίσας* Nauckius || 181 *βουνόμον* EpegΣ Suidas: *βούνομον* L *βουνόμενον* l *βουνόμαν* vindobonensis | *ἀχτὰν* g corr. g^1 || 182 *ἀγαμεμνίδασ* L *ἀγαμεμνονίδησ* g^1 | *ἀπερίσκοπος* Wolffius. *παῖδ' Ἀγαμεμνονίδαν ἀνεπίστροφος* Burgesius ad Aesch. suppl. p. 194

τῷ Διί, τὸν ὑπεραλγοῦντα χόλον τοῖς πεπραγμένοις νέμουσα ⟨v: *μένουσα* Lh⟩, *μὴ ὑπερβολῇ χρῶ τοῖς λυπηροῖς καὶ δεινοῖς, μήτε ἐπιλάθου αὐτῶν· ἀλλὰ μέμνησο μὲν αὐτῶν, γενναίως δὲ φέρε.* | *ἢ μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε μήτε ἐπιλανθάνου τῆς ἔχθρας* ⟨Suidas *μήθ' οἷς*⟩. | *ἄγαν ὀδυνηρόν, λυπηρόν* ⟨Suidas *ὑπεραλγῆ*⟩. || 179 *χρόνος γὰρ εὐμαρής: ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται* ⟨Suidas *μήθ' οἷς*⟩. *αἰνίττεται δὲ ὅτι* ⟨Iahnius: *ἐνίοτε δὲ οὐ* L *ἐνίοτε δὲ* h *ἐνίοτε δὲ καὶ* v⟩ *μετ' ὀλίγον ἀνυομένου τοῦ χρόνου ἥξει Ὀρέστης* ⟨*αἰνίττεται — Ὀρέστης* om. Suidas⟩. *ἢ εὐχερής ἐστιν ὁ χρόνος ὥστε μετελθεῖν τοὺς ἀδίκους* ⟨Suidas⟩. | * Evstathivs ad Hom. *Ω* 139 p. 1342 *ὁ διὰ μέσου καιρὸς μαλάττει τὴν ἐν τοῖς θυμουμένοις σκληρότητα, ὥστε ἀληθεύειν τὸν εἰπόντα ὅτι χρόνος εὐμαρὴς θεός.* * || 180 **Φωκικήν.** ***Κρίσα*** *γὰρ πόλις* **Φωκίδος**. || 181 *βοῶν θρεπτικήν* ⟨Suidas *βουνόμον*⟩. || 182 *ἀπερίτροπος: ἀνεπίστροφος, ἀνεπέλευστος· ἔνθεν καὶ τὸ ‛περιτροπέων ἐνιαυτός'* ⟨Hom. *B* 295⟩. | *ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἀπερίτροπος· οὔτε Ὀρέστης ἀπερίτροπος, ὃς ἐν τῇ* **Φωκίδι** *τρέφεται, οὔτε ὁ κάτω* ⟨*ἑκατηβόλος* g⟩ *θεός· ἀλλὰ καὶ ὑπὸ Ὀρέστου τιμωρηθήσονται, καὶ ἀπὸ τῶν χθονίων θεῶν ἔσεσθαι τὴν τιμωρίαν τοῦ ἀδίκως ἀνῃρημένου προσδόκα. τινὲς δὲ τὸ ἀπερίτροπος ἐπὶ μὲν Ὀρέστου ἀνεπέλευστος, ἐπὶ δὲ τοῦ Πλούτωνος ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν· πολλάκις γὰρ τὸ κατὰ κοινοῦ λαμβανόμενον διαφόρως νοεῖται. καὶ Ὅμηρος* ⟨*Λ* 328⟩ *‛ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω'· τὸ ἑλέτην κατὰ κοινοῦ ἐστιν, ἀλλ' ἐπὶ μὲν τοῦ δίφρου ἀντὶ τοῦ ἔλαβον, ἐπὶ δὲ τῶν ἀνδρῶν ἀντὶ τοῦ ἐφόνευσαν.* || 183 *οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα: οὔτε ὁ Ἅιδης ἀνεπίστροφος (ἀπὸ κοινοῦ γὰρ τὸ ἀπερίτροπος* ⟨*ἀνεπίστροφος* g⟩) *τοῦ τοὺς ἐχθροὺς μετελθεῖν· ἀλλ' ἔχει ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιεῖται* ⟨cf. Svidas *ἀπερίτροπος· ἀνεπίστροφος. ‛οὔτε — ἀνάσσων'. ἀπὸ κοινοῦ τὸ* ⟨adde *ἀπερίτροπος· οὔτε ὁ Ἅιδης*⟩ *ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς — ποιεῖται. ἢ ἀνεπέλευστος, ὅθεν καὶ τὸ ‛περιτροπέων ἐνιαυτός'.*⟩ || 184 *ἀλλ' ἐμὲ μὲν ὁ πολύς: οἷον τὸ πλεῖστον τοῦ βίου ἐβίωσα ἐν κακοῖς. καὶ ὁ πλείων με, φησί, βίος ἀπολέλοιπεν, μη-*

ΗΛ. ἀλλ' ἐμὲ μὲν ὁ πολὺς ἀπολέλοιπεν ἤδη
βίοτος ἀνέλπιστος, οὐδ' ἔτ' ἀρκῶ·
ἅτις ἄνευ τοκέων κατατάκομαι,
ἇς φίλος οὔτις ἀνὴρ ὑπερίσταται,
ἀλλ' ἁπερεί τις ἔποικος ἀναξία
οἰκονομῶ θαλάμους πατρὸς ὧδε μὲν
ἀεικεῖ σὺν στολᾷ,
κεναῖς δ' † ἀφίσταμαι τραπέζαις.
ΧΟ. οἰκτρὰ μὲν νόστοις αὐδά, (στρ. γ')

185 ἀπολέλοιπεν ἤδη separato versu L || 186 ἀνέλπιστον Σ Nauckius | οὐδέ τ' pe οὐδέτ' g || 187 ἄτησ g corr. g[1] | τοκέων vindobonensis τεκέων Meinekius ad Oed. Col. p. 253 | κατατήκομαι g Suidas || 189 ἀπερεί τις Lpe: ἅπερ εἴ τις e[2]l ὡς supra εἴ add. l[1] ὡσπερείτισ g ἅπερ ἥτις et ἅπερ τις Suidas. ἀλλὰ ἤ τις vindobonensis | ἔπακτος Morstadtius p. 13 Bakhovenus quaest. soph. p. 78 || 190 οἰκονομῶ∗ L οἰκονομῶι l. ἀνάξια οἰκονομῶν ? Suidas (οἰκονομῶν) | δόμους Suidas || 191 σὺν στολᾶι El[1]: συστολᾶι L σὺν στολᾶ l συνστολᾷ pe σὺν στολᾷ g, η supra ᾷ add. g[1] aut g[2] || 192 ἀφίσταμαι L: ἀμφίσταμαι l Eustathius ad Hom. λ 418 p. 1692 ἐφίσταμαι Epg ἐφίεμαι e. κοινᾶς δ' ἀφίσταμαι τραπέζας Schneidewinus ξένας ἀφίσταμαι τραπέζας 'G.' ztschr. f. gymn.-w. 1863 p. 612 ἐν ᾳ κἀφίσταμαι τραπέζας Eggertus quaest. soph. p. 10. κενὰ δ' ἀμφίσταμαι Hartungus νῆστις δ' ἀμφ. Wecklinus art. p. 25 πλέαις δ' ἀμφ. Bakhovenus quaest. soph. p. 78 κενᾶς δ' ἀμφιστάτις τραπέζας Morstadtius p. 13 || 193—250 interpolatori tribuit Schoellius

δέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένην, ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐκδικίας Ἀγαμέμνονος πέπρακται ⟨Suidas οἰκονομῶ. ὑπερίσταται⟩. || 186 ∗ Svidas ἀρκῶ· ἰσχύω, ὑπομεῖναι δύναμαι· 'ὁ πολὺς — ἀρκῶ'. ∗ || 188 ἇς φίλος οὔτις ἀνήρ: ἤτοι ἧς φίλος οὐδεὶς προΐσταται, ἀλλὰ πάντες εἰσὶν ἐν ἀτυχήμασιν εὐλαβούμενοι, κατ' ⟨ἢ L Suidas ὡς g om. v⟩ ἐκεῖνο ⟨ἐκεῖ g ἐκεῖνος v⟩ 'ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι'. ⟨Suidas οἰκονομῶ. ὑπερίσταται. cf. schol. Aristid. III p. 681 ὥσπερ καὶ τὸ 'φίλου κακῶς — φίλοι', Σοφοκλέους ὄν, παροιμιῶδες γέγονε καὶ ἕτερα μυρία.⟩ || 189 ἔποικος: ἀντὶ τοῦ μέτοικος. | ἀναξία δὲ ⟨δούλη add. v⟩ ἀξίαν οὐκ ἔχουσα ἀλλ' ἄτιμος. || 190 οἰκονομῶ δὲ ἀντὶ τοῦ διατάττω ⟨g: διαιτῶμαι Lv Suidas. κατὰ add. Dindorfius⟩ τοὺς πατρῴους οἴκους ⟨Suidas ἀναξία⟩. | ∗ Svidas οἰκονομῶν· ἀντὶ τοῦ ἐνδιαιτώμενος τοὺς πατρῴους οἴκους. οἷά τις ἔποικος ἀναξίως οἰκονομῶ δόμους πατρός. ∗ | ὧδε μὲν ἀεικεῖ σὺν στολᾷ: δεικτικῶς τὸ ὧδε. ἐλεεινὸν δὲ τὸ τοιοῦτον καὶ λεληθότως ἐμφαῖνον τὸ σχῆμα τῶν ὑποκριτῶν. || 193 οἰκτρὰ μὲν νόστοις αὐδά: ἡ ἀγγελία ἡ περὶ τοῦ νόστου τοῦ πατρὸς οἰκτρὰ ἐγένετο, εὐθέως ἀναιρεθέντος. | ἀπὸ κοινοῦ δὲ τὸ αὐδά. οἰκτρά σοι οὖν γέγονεν ἡ φωνὴ ἡ ἀγγέλλουσα περὶ τοῦ νόστου τοῦ πατρός, οἰκτρὰ δὲ καὶ περὶ τῆς κοίτης αὐτοῦ. | οἷον οἰκτρὰ πέπονθας, [καὶ]-

οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις
ὅτε οἱ παγχάλκων ἀνταία
γενύων ὡρμάθη πλαγά.
δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
δεινὰν δεινῶς προφυτεύσαντες
μορφάν· εἴτ' οὖν θεὸς εἴτε βροτῶν
ἦν ὁ ταῦτα πράσσων.
ΗΛ. ὦ πασᾶν κεῖνα πλέον ἁμέρα
ἐλθοῦσ' ἐχθίστα δή μοι·
ὦ νύξ, ὦ δείπνων ἀρρήτων
ἔκπαγλ' ἄχθη·
τοὺς ἐμὸς ἴδε πατὴρ

194 *ἐν πάσταις* Wakefieldus silv. crit. II p. 119 || 195 *ὅτε οἱ* Hermannus: *ὅτε σοι* LlpegΣ *ὅτε τοι* Wakefieldus *ὅτ' ἔσω* Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 408 *ὅτε* Heathius || 196 *γεννύων* e || 197 *ἔροσ* ex *ἔρωσ* radendo corr. L *ἔροσ* pe *ἔρωσ* lg | *ἔρος ἦν ὁ φράσας* (*πλάσας* Wakefieldus), *δόλος* Wakefieldus Bergkius Nauckius Herwerdenus exerc. crit. p. 113 || 198 *προφυτεύσαντεσ* Llpe: *προφητεύσαντεσ* Lg || 199 *μομφάν* Hamacherus *μορτάν* Bergkius rhein. mus. XX p. 288 || 201 *ἠλ´* personae notam male v. 203 adscriptam huc revocavit g[2] | *π*σᾶν* p corr. p[1] *πᾶσαν* e *πᾶσᾶν* g | *κεῖνα* g *δεινὰ* Morstadtius p. 14 | *ἁμερα** L corr. L[2] *ἁμέρα* p || 202 *ἐλθοῦσα ἐχθίστα* g, *η* add. g[1] || 204 *γρ. εκπαγλα πάθη* L[2] *ἔκπλαγ' ἄχθη* g *γρ. πάθη* g[2] in margine *ἔκπλαγα πάθη* scholion cod. g || 205 *τοῖς* Reiskius Morstadtius *ὅτ'* WHoffmannus ztschr. f. gymn.-w. 1865 p. 356 | *ἴδε* Brunckius: *εἶδε* Llpe *οἶδε* g

ὅτε ἤκουσας παρεῖναι Ἀγαμέμνονα, προσδοκῶσα ὅτι ἐπιβουλευθήσεται· οἰκτρὰ δέ, ὅτε ⟨Brunckius: *ὅτι* Lv⟩ *καὶ ἡ πρᾶξις γέγονε καὶ ἀνῃρέθη.* || 195 *ἀνταία γενύων*: *ὅτε* ⟨*ἀνταία*: *καὶ Ὅμηρος* g⟩ *ἀνταίαν ἐπλήγης* ⟨*ἐπλήγη* v⟩ *ἀπὸ γενύων παγχάλκων, ὅ ἐστι πελέκεων· γένυς γὰρ εἶδος πελέκεως* ⟨g: *πελέκεος* Lv⟩ ⟨Suidas *γένυς*⟩. || 197 *δόλος ἦν ὁ φράσας*: *ἀντὶ τοῦ ὁ φρασάμενος, ὁ ἐπινοησάμενος· ὁ δὲ ἀνελὼν ἔρως· δι' ἔρωτα γὰρ ἑαυτῶν ἀνεῖλον Ἀγαμέμνονα.* | *δόλος ὁ φρασάμενος τὴν ἑστίασιν ἐν ᾗ ἀνῃρέθη* ⟨Suidas *φράσας*, qui addit *ἔρως ὁ κτείνας, ὁ Αἴγισθος δι' ἔρωτος*⟩. || 198 *προσκεψάμενοι* ⟨*προκατασκευάσαντες* L[2]⟩. || 199 *μορφάν*: *μορφήν, τύπον. τὴν δὲ μοιχείαν φησὶ τοῦ Αἰγίσθου, ἢ τὴν ὄψιν ἣν εἰργάσατο τοῦ φόνου.* | *εἴτ' οὖν θεός*: *πάνυ αἰδημόνως ὁ χορὸς τὸ μὲν πρᾶγμα λέγει, τοὺς δὲ πράξαντας οὐκ ἐλέγχει.* || 201 ⟨*ὦ ἡμέρα ἐκείνη ἡ ἐλθοῦσα ἐμοὶ ἐχθίστη, ἡ μάλιστα μεμισημένη πασῶν ἡμερῶν. τὸ δὲ πλέον περισσόν.* add. L[2]⟩ || 203 *ὦ δείπνων ἀρρήτων*: *τῶν ὑπὸ Αἰγίσθου, φησί, τῷ Ἀγαμέμνονι παρασκευασθέντων ἐπ' ὀλέθρῳ, ἃ οὐδὲ ὀνομάσαι καλόν.* || 204 *μεγάλα.*

θανάτους αἰκεῖς διδύμαιν χειροῖν,
αἳ τὸν ἐμὸν εἷλον βίον
πρόδοτον, αἵ μ' ἀπώλεσαν·
οἷς θεὸς ὁ μέγας Ὀλύμπιος
ποίνιμα πάθεα παθεῖν πόροι·
μηδέ ποτ' ἀγλαΐας ἀποναίατο
τοιάδ' ἀνύσαντες ἔργα.
ΧΟ. φράζου μὴ πόρσω φωνεῖν. (ἀντ. γ')
οὐ γνώμαν ἴσχεις ἐξ οἵων
τὰ παρόντ'; οἰκείας εἰς ἄτας
ἐμπίπτεις οὕτως αἰκῶς.
πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,

206 *αἰκεῖς* Hermannus: *ἀϊκεῖσ* L *ἀεικεῖσ* lpeg | *χειροῖν* ς Heathius: *χεροῖν* Llpeg || 208 *αἵ μ'* L in litura | *ἀπωλέσ*ν* L corr. L || 209 *ὁ* om. e Suidas || 211 *ὀναίατο* Suidas || 213 *πόρσω* Lpeg *γρ. πόρσω* l[1] *πόρρω* add. L[2] *πρόσω* l *γρ. πρόσω* g[2] in margine | *φώνει* Morstadtius p. 15 || 215 *τὰ παρόντ';* Llpe Bergkius: *τὰ παρόντ'·* L *τὰ παρόντ',* g *τὰ παρόντ'* vindobonensis *ἀγαθῶν* Σ? Nauckius *πατρῴων* HAKochius philol. VI p. 362 *ἀτῶν* Bluemnerus de locis Luciani p. 55 *οἵας* Schmalfeldus progr. eisleb. 1868 p. 19 | *οἰκείασ* LlpeΣ: *οἴκείασ* g *οἰκείας δ'* Bergkius *οἵας* Σ? Reiskius *οὐδ' οἵας* Piccolos suppl. à l'anth. gr. p. 330 || 216 *ἐμπίπτουσ'* ASeyffertus progr. brandenburg. 1868 p. 13 | *αἰκῶς* Hermannus: *ἀεικῶσ* Llpeg Suidas (*ἄεικες*) *ἀϊκῶς* Brunckius || 217 *ὑπερεκτίσω* e

206 τῆς Κλυταιμνήστρας καὶ τοῦ Αἰγίσθου. || 207 αἳ τὸν ἐμὸν εἷλον βίον: πάνυ περιπαθῶς. αἵτινες χεῖρες, αἱ ἀνελοῦσαι τὸν Ἀγαμέμνονα, τὸν ἐμὸν βίον ἀνεῖλον καὶ προέδωκαν τοῖς ἐχθροῖς. || 210 ποίνιμα: ποινὴ λέγεται ἐπὶ μόνης καταβολῆς χρημάτων· Ὅμηρος ⟨I 633⟩ 'ποινὴν ⟨ἢ add. Suidae cod. A⟩ οὗ παιδὸς ἐδέξατο τεθνειῶτος· καί ῥ' ⟨Iahnius: καὶ ἀλλ' Lv καὶ ὥστε. ἀλλ' g καὶ αὖθις ἀλλ' Suidas⟩ ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίσας, τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ ποινὴν δεξαμένῳ'. ⟨Suidas ποινή qui addit λέγεται δὲ καὶ ἡ ἀντέκτισις καὶ τιμωρία· 'οἷς — πόροι'.⟩ | ⟨ἄξια ποινῆς. add. L[2]⟩. || 211 ἡδονῆς, δόξης. | * Suidas ὀναίατο· ἀπολαύσειαν. Σοφοκλῆς 'μηδέποτ' ἀγλαΐας ὀναίατο', τουτέστιν ἡδονῆς, δόξης, 'τοιάδ' ἀνύσαντες ἔργα', ἤτοι τὸν ἐμὸν πατέρα ἀνελόντες. * || 213 φράζου μὴ πόρσω φωνεῖν: ὁ χορὸς ⟨λόγος g⟩ ἐπιτιμᾷ τῇ Ἠλέκτρᾳ μὴ ἄντικρυς ταῖς βλασφημίαις κατὰ Κλυταιμνήστρας καὶ Αἰγίσθου χωρεῖν. | οἰκείας δὲ ἤτοι τὰς συγγενικὰς ἢ ἀπὸ σοῦ ἐσομένας καὶ οὐκ ἀλλαχόθεν. || 214 οὐ γινώσκεις, φησίν, ἐξ οἵων ἀγαθῶν εἰς τί ἀνιαρὸν ἐλήλυθας; ⟨ἀντὶ τοῦ οὐ νοεῖς; add. L[2]⟩ || 216 τοιαῦτα ἐννοοῦσα, ἐξ ὧν πολεμεῖται σοῦ ἡ ψυχή. | σαυτῇ γεννῶσα ταῦτα, ἐξ ὧν πολεμεῖταί σου ἡ ψυχή. | ὡς ⟨καὶ ἄλλως· g⟩ ἐν ἀθυμίαις αὐτῆς οὔσης ⟨ταῦτα φησίν add. g⟩.

σᾷ δυσθύμῳ τίκτουσ' ἀεὶ
ψυχᾷ πολέμους· τὰ δὲ τοῖς δυνατοῖς
οὐκ ἐριστὰ πλάθειν.
ΗΛ. [ἐν] δεινοῖς ἠναγκάσθην, [ἐν] δεινοῖς·
ἔξοιδ', οὐ λάθει μ' ὀργά.
ἀλλ' ἐν γὰρ δεινοῖς οὐ σχήσω
ταύτας ἄτας,
ὄφρα με βίος ἔχῃ.
τίνι γάρ ποτ' ἄν, ὦ φιλία γενέθλα,
πρόσφορον ἀκούσαιμ' ἔπος,
τίνι φρονοῦντι καίρια;
ἄνετέ μ' ἄνετε, παράγοροι·

218 θυσθύμωι l corr. l[1] | ἀεὶ L αἰεὶ pe || 219 τάδε Bothius Hermannus τά γε Ellendtius lex. soph. (s. v. πλάθειν) μάθε Hamacherus ἅδε HWeberus part. κα p. 91 | δυνάσταις vindobonensis | τῷ τοῖς δ. οὐκ ἀρεστὰ πράττειν Froehlichius | τὸ δὲ δεῖ δυνατοῖς οὐκ ἐριστὶ πλάθειν ASeyffertus progr. brandenburg. 1868 p. 14 || 220 ἀρεστὰ GKruegerus n. jahrb. f. philol. CI p. 602 | τλᾶθι Wakefieldus silv. crit. III p. 35 || 221 ἐν utrumque del. Brunckius ἐν δεινοῖς ἠναγκάσθην δή Triclinius ἐν δεινοῖς ἐζεύχθην, δεινοῖς Bergkius ἠναγκάσθην ἐν ὑπερδείνοις olim Wolffius de schol. laur. p. 34 δεινοῖς ἠναγκάσθην δεινῶν Wecklinus art. p. 71 δείν' ἠναγκάσθην ἐν δεινοῖς Wolffius ἐν δεινοῖς ἠναγκάσθην δεινοῖς Wexius progr. suerin. 1863 p. 16 δεινῶς ἠγάσθην ἐν δεινοῖς Meinekius ad Oed. Col. p. 253 || 222 οὐ γὰρ λάθη e, λάθει corr. e[2] | λαθοιμ' οὑργὰ g | ὀργᾶι L corr. L[2] ἄτα Nauckius Morstadtius p. 15 || 223 δειλοῖς Bothius κείνοις Morstadtius | σχή g suppl. g[2] || 224 πω τὰς ὀργάς Reiskius. ὀργάς Nauckius Morstadtius || 225 μ' ὁ vindobonensis | ἔσχῃ e || 226 ἂν peg om. Ll ἔτ' Eggertus quaest. soph. p. 12 | φίλια g φίλα Suidas | γενέθλα L[2]pe: γένεθλα Llg || 227 ἀκοῦσαι 'στ' Eggertus

219 τὰ δὲ τοῖς δυνατοῖς οὐκ ἐριστά: τοῖς κρατοῦσιν οὐ δι' ἔριδος δεῖ εἰς ταῦτα προσπελάζειν· ἀντὶ τοῦ οὐχ οἷόν τέ σε ἐρίζειν τοῖς δυνατοῖς. | καὶ ἄλλως. ταῦτα δὲ ἃ πράττεις οὐκ ἐριστὰ τοῖς κρατοῦσίν ἐστι, τουτέστι [τοῖς] ⟨τὴν ed. rom.⟩ περὶ τούτων φιλονεικίαν πρὸς τοὺς κρατοῦντας ποιεῖσθαι ἀσύμφορον. || 220 πελάζειν. || 222 τοῦτο τὸ ἔπος, φησίν, οὐ λανθάνει με, ἀλλ' οἶδα τὸ ἀσφαλὲς καὶ συμφέρον· διὰ δὲ τὴν ὑπέρβασιν τῶν δεινῶν ἀναγκάζομαι καὶ ἐπικινδυνώδη τινὰ φθέγγεσθαι. || 226 τίνι γάρ ποτ' ὦ φιλία: παρὰ τίνος γὰρ [ἂν] ⟨om. g⟩ ἀκούσομαι ⟨ἀκούσαιμι v⟩ τὰ συμφέροντα ἢ παρ' ὑμῶν τῶν συνοίκων; ὥστε μοι συγχωρῆσαι ἐν δεινοῖς οὔσῃ παρηγορίαν τινὰ ἴσχειν ἐκ τῶν ὀδυρμῶν καὶ θρήνων· οὐ γὰρ πρὸς ξένους ἔχω, ἀλλὰ πρὸς ὑμᾶς εὐνοούσας. | ἀντὶ τοῦ παρὰ τίνος. ⟨προσφιλὴς ἐμοὶ γενεά. add. L[2]⟩ || 228 ⟨παρὰ τίνος φρονοῦντος καίρια ἤγουν συμφέροντα. add. L[2]⟩ || 229 ἐάσατε· οἷον παύσασθέ με παραμυθούμεναι [ἢ οὕτως· ὑμεῖς με παραμυθούμεναι ἄνετε ⟨om.

τάδε γὰρ ἄλυτα κεκλήσεται,
οὐδέ ποτ' ἐκ καμάτων ἀποπαύσομαι
ἀνάριθμος ὧδε θρήνων.
ΧΟ. ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ (ἐπῳδός)
μάτηρ ὡσεί τις πιστά,
μὴ τίκτειν σ' ἄταν ἄταις.
ΗΛ. καὶ τί μέτρον κακότατος ἔφυ; φέρε,
πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων;
μήτ' εἴην ἔντιμος τούτοις
μήτ' εἴ τῳ πρόσκειμαι χρηστῷ

230 κεκλαύσεται Froehlichius κεκτήσομαι Morstadtius p. 16 || 231 οὐδέ superiori versui add. L οὐ g | καμμάτων g. ἐν καμάτοις Eggertus quaest. soph. p. 30 | ἀπὸπαύσομαι l || 232 ἀμέτοχος superscr. e ἀνήριθμος Σ ἀνάνομος Σ Bentleius class. journ. XXVI p. 246 ἀέναος Hartungus || 233 εὐνοίαι Elp: εὐνοία Leg || 234 ὡσεί Lg[1]: ὡσ εἴ Elpeg | πιστα l ῆ superscr. l[1] || 235 σ' om. Suidas (ἄτη) | ἄτας vindobonensis ς in litura || 236 τι g | κακότατοσ LlgΣ (Hesychius κακότατος· κακότητος): κακότητοσ l[1]pe || 237 πῶς δ' Morstadtius p. 16 || 238 ἔν τινι e ἐν τίσι Morstadtius | ἔβλαστ' pe: ἔβλαστεν Llg || 239 μὴτ' g

Suidas〉]· ὅ ἐστιν ἐπιτρέπετε ὀδύρεσθαι καὶ αὔξετέ μου διὰ τῆς παραμυθίας τὸν ὀδυρμόν. || 230 τάδε γὰρ ἄλυτα κεκλήσεται: τὸ θρηνεῖν τὸν πατέρα ἄλυτόν μοι ἐστίν· ὅ ἐστιν οὐδέποτε παύσομαι, ἀλλ' ἀεὶ ἐν τῷ θρηνεῖν ἔσομαι. || 232 ἀνάριθμος ὧδε θρήνων: ἐν τῷ ὑπομνήματι κεῖται 〈Elmsleius: ἐν ὑπονοίᾳ δὲ κεῖται Suidas ἔν τισι κεῖται L ἐν τῷ παράκειται g ἔν τι παράκειται v〉 ἀνάνομος 〈ἀείνομος IGSchneiderus lex. gr. ἀνάριθμος〉, οἷον ἀεὶ νεμομένη ἐν αὐτοῖς καὶ οὔποτε χωρὶς οὖσα τῆς τῶν δακρύων νομῆς. κεῖται δὲ καὶ 〈om. g〉 ἀνήριθμος 〈ἀνάριθμος Suidas〉, καὶ ἔστιν ὁ λόγος οὐκ ἔσομαι ἀνάριθμος 〈καὶ ἔστιν — ἀνάριθμος om. g Suidas〉 θρήνων, ἀλλ' 〈θρήνων ἀλλ' Lgv: τουτέστιν Suidas〉 ἐν θρήνοις ἀριθμηθήσομαι 〈ἀεί add. g, ἀεὶ θρηνοῦσα Suidas〉. | οἷον οὐκ ἀριθμοῦσα αὐτοὺς ἀλλὰ δαψιλέσι 〈δαψιλῶς g Suidas〉 χρωμένη 〈229—232 Suidas ἄνετέ μ'〉. || 236 〈καὶ τί μέτρον ἔχει τόδε τὸ κακὸν ὥστε μετρίως θρηνεῖν; πρὸς γὰρ ἄμετρον κακὸν καὶ ἀμέτρων δεῖται θρήνων. add. L[2]〉 | τῆς συνεχούσης με. || 239 μὴ εἴη μοι ταύτης τιμῆς 〈εἴη ταῦτα τιμᾶν g〉 τὸ τοὺς γονέας μὴ μέχρι παντὸς ὀδύρεσθαι. | 〈τουτέστι μὴ θέλοιμι ἔχειν τιμὴν ὑπὸ τούτων μηδέ, εἰ συνοικῶ χρηστῷ τινι ἀνδρί, ζηλώσαιμ' ἂν τὰ ἐκείνου ἡσυχάζουσα καὶ κατέχουσα τοὺς ἐπὶ τῷ πατρὶ γόους. πτέρυγας δὲ τούτους 〈τοὺς γόους Iahnius〉 [ὀξυτόνους] 〈del. Michaelis〉 εἴρηκε διὰ τὸ ταχύ· ἅμα μὲν τῇ μνήμῃ καὶ ὁ ὀδυρμός, οὐδενὸς τοῦ μεταξὺ ὄντος· ὀξυτόνους δὲ διὰ τὸ σφοδρὸν καὶ μέγα καὶ τὸ εἰς ὀξὺ τείνεσθαι, τουτέστιν εἰς ἄκρον ἐλθεῖν. | τοῖς ἀμελοῦσι τῶν γονέων. add. L[2]〉 || 240 μήτ' εἴ τῳ πρόσκει-

ξυνναίοιμ' εὔκηλος, γονέων
ἐκτίμους ἴσχουσα πτέρυγας
ὀξυτόνων γόων.
εἰ γὰρ ὁ μὲν θανὼν γᾶ τε καὶ οὐδὲν ὢν
κείσεται τάλας, οἱ δὲ μὴ πάλιν
δώσουσ' ἀντιφόνους δίκας,
ἔρροι τ' ἂν αἰδὼς ἁπάντων τ' εὐσέβεια θνατῶν.

ΧΟ. ἐγὼ μέν, ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα
καὶ τοὐμὸν αὐτῆς ἦλθον· εἰ δὲ μὴ καλῶς
λέγω, σὺ νίκα· σοὶ γὰρ ἑψόμεσθ' ἅμα.
ΗΛ. αἰσχύνομαι μέν, ὦ γυναῖκες, εἰ δοκῶ
πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.
ἀλλ', ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν,

241 ξυνναίοιμ' p: ξυναίοιμι Lg ξυνναίοιμι Ŀ ξυναίοιμ' e | γονέως Morstadtius || 242 ἐντίμους Erfurdtius | ἰσχ*ουσα L corr. Ŀ | πτέρυγας suspectum videtur Nauckio || 245 γᾷ Schuppius ztschr. f. oest gymn. 1863 p. 694 || 248 ἀντιφώνουσ eg corr. e^1g^1 || 249 ἔροι e | τἂν Martinus | ἀπάντων p || 250 τ' — θνατῶν separato versu L | εὐσέβεια Llpeg: ϊ (ϊ' Ŀ) supra ει add. Ŀp^1e^1 || 252 αὐτῆσ g (ου superscr. g^1) | ἔλεγον Nauckius || 253 ἑψόμεσθ' ἀεί Morstadtius p. 16 ἑψόμεσθα δή Nauckius || 256 Aristoteles metaph. IV, 5 p. 1015 καὶ ἡ βία ἀνάγκη τις, ὥσπερ καὶ Σοφοκλῆς λέγει 'ἀλλ' ἡ βία με ταῦτ' ἀναγκάζει ποιεῖν'.

μαι χρηστῷ: μήτε εἴ τινι ἀγαθῷ καὶ χρηστῷ πρόσκειμαι φίλῳ, συνοικοίην εὔκηλος. | οἷον μηδὲ εἰ ἀγαθός τις ἐστὶν ᾧ ἐγὼ πρόσκειμαι, μηδὲ τούτῳ συνοικοίην εὖ ζηλοῦσα αὐτῷ ⟨τὰ αὐτοῦ Michaelis. an εὔκηλος οὖσα αὐτῷ?⟩ καὶ ἀποδεχομένη εἰ τοιοῦτος περὶ τοὺς γονέας φαίνοιτο. | μήτε οὖν αὐτὴ γενοίμην, μήτε εἰ ⟨add. ed. rom.⟩ ὁ ξυνοικῶν μοι τοιοῦτος εἴη, ζηλοίην τὰ ἐκείνου, ὥστε καταφρονεῖν τῶν γονέων. || 241 γονέων ἐκτίμους: τῶν ἐπὶ τοῖς γονεῦσιν ὀξυτόνων γόων τὰς πτέρυγας ἴσχουσα ἐκτίμους, ἀντὶ τοῦ ἐκτὸς τιμῆς ⟨Suidas ἐκτίμους. Eustathius ad Hom. δ 690 p. 1514 οὕτω καὶ ἔκτιμον παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ τὸ ἔξω τιμῆς, ἑτεροῖον ὂν παρὰ τὸ ἔντιμον⟩. | ἀλλ' ἐν τῷ τιμᾶν τοὺς πατέρας εἴην διὰ τῶν γόων ⟨Iahnius: γονέων Lgv⟩. || 242 ⟨πτέρυγας γόων τοὺς γόους λέγει. add. Ŀ⟩ || 245 ἥ τε αἰδὼς ἔρρει ⟨Iahnius: ἔρροι Lg⟩ καὶ ἡ περὶ πάντας εὐσέβεια, εἰ τῶν ἀδίκως ἀνῃρημένων μὴ τιμωρία ἔσται. || 253 σὺ νίκα: ⟨τὸ ἐμὸν εἶπε διὰ τὸ φίλην εἶναι τὴν Ἠλέκτραν τῷ χορῷ· κοινὰ γὰρ τὰ τῶν φίλων. add. g, om. Lv⟩ τὸ σὺ νίκα πάνυ ἀναγκαίως, ἵν' ἀφορμὴ γένηται μακρὰν ἐκτεῖναι ῥῆσιν ⟨Χρυσόθεμιν ἢ g⟩ τὴν Ἠλέκτραν, ἐν ᾗ πάντα τὰ καθ' ἑαυτὴν παραλήψεται. || 254 αἰδοῦμαι εἰ δοκῶ ὑμῖν βαρέως πενθεῖν ⟨καὶ ἀπαραμυθήτως ἔχειν add. Ŀ⟩. || 256 ἀλλ' ἡ βία γὰρ ταῦτ' ἀναγκάζει:

σύγγνωτε. πῶς γὰρ ἥτις εὐγενὴς γυνὴ
πατρῷ' ὁρῶσα πήματ' οὐ δρῴη τάδ' ἄν;
ἁγὼ κατ' ἦμαρ καὶ κατ' εὐφρόνην ἀεὶ
θάλλοντα μᾶλλον ἢ καταφθίνονθ' ὁρῶ.
ᾗ πρῶτα μὲν τὰ μητρὸς ἥ μ' ἐγείνατο
ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν
ἐν τοῖς ἐμαυτῆς τοῖς φονεῦσι τοῦ πατρὸς
ξύνειμι, κἀκ τῶνδ' ἄρχομαι κἀκ τῶνδέ μοι
λαβεῖν θ' ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει.
ἔπειτα ποίας ἡμέρας δοκεῖς μ' ἄγειν,
ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ' ἴδω
τοῖσιν πατρῴοις, εἰσίδω δ' ἐσθήματα
φοροῦντ' ἐκείνῳ ταὐτὰ καὶ παρεστίους
σπένδοντα λοιβὰς ἔνθ' ἐκεῖνον ὤλεσεν,
ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,

257 *σύγγωτε* l *συγγόνετε* g corr. g[1] | *εἴτισ* g *ἥ* superscr. g[2] | *εὐσεβὴς* Nauckius || 259. 260 suspectos habet Nauckius | *ἄγὼ* L *ἃ 'γὼ* lpg || 261 *πρῶτὰμητρὸσ* L *τα μὲν* add. B || 265 *λαθεῖν* L corr. B | *κἀποτητᾶσθαι* Blomfieldus || 268 *τοῖσι* g | *ἐσθήματα* l || 269 *φρορρoῦντ'* g, sed prius *ρ* erasum | *πὰρ' ἐστίουσ* l || 270 *σπεύδοντα* l || 271 *τοῦτον* g (*γρ. τούτων* g[1] in margine) *τοῦτον, τὴν* Morstadtius p. 17 | *τελευταῖαν* l *τελευτέαν* g corr. g[1]

ἐπείπερ ἐν τοῖς φθάσασιν ἐπετίμησαν αὐτῇ διὰ τὸ ἀνενδότως θρηνεῖν, περὶ τούτου πρῶτον ἀπολογεῖσθαι βούλεται. || 259 *ἃ 'γὼ κατ' ἦμαρ*: *ἀναγκαίως κέχρηται τῷ νοήματι· ἐπὶ μὲν* ⟨ed. rom.: *ἐν ἡμῖν* Lgv⟩ *γὰρ γενομένῳ πράγματι καὶ παρελθόντι εἰκὸς καὶ παύσασθαι τὸν ἀδημονοῦντα. ὁπότε δὲ αὐτὴν οὐ μόνον τὰ τοῦ πατρὸς λυπεῖ ἀλλὰ καὶ τὰ τῆς μητρὸς καὶ τὰ Αἰγίσθου ὁσημέραι γινόμενα, εἰκότως παρατείνει* ⟨ed. rom.: *παρατείνειε* Lv *περιτείνει* g⟩ *τὸ πενθεῖν* ⟨*ἐν τῷ πένθει* g⟩. || 263 *ἐν τοῖς ἐμαυτῆς*: *ἀνιαρὸν λίαν τὸ ἐν τοῖς ἐμαυτῆς, ὅτι ἀδικοῦμαι οὖσα ἐν τοῖς ἐμαυτῆς.* || 264 *κἀκ τῶνδ' ἄρχομαι*: *καὶ βασιλεύομαι ὑπ' αὐτῶν· ἔτι δὲ τούτου χαλεπώτερον τὸ καὶ τούτοις ὑποτετάχθαι.* || 267 *ὅταν θρόνοις Αἴγισθον*: *καὶ γὰρ μετὰ τὸ φονεῦσαι Ἀγαμέμνονα Αἴγισθος ἐβασίλευσεν. Ὅμηρος* ⟨*γ* 303⟩ *'Αἴγισθος ἤνασσε πολυχρύσοιο Μυκήνης, κτείνας Ἀτρείδην· δέδμητο δὲ λαὸς ὑπ' αὐτοῦ'.* || 269 *φοροῦντ' ἐκείνῳ ταὐτά*: *οὐχ ὅμοια βασιλικά, ἀλλὰ τὰ ἐκείνου. πάνυ γὰρ τοῦτο περιπαθὲς* ⟨gh: *περιπαθῶς* Lv⟩ *καὶ εἰς ὑπόμνησιν ἄγον τὴν μείρακα τοῦ πατρός.* || 270 *σπένδοντα λοιβάς*: *τὸ τῆς ἀσεβείας Αἰγίσθου κατηγόρημα, εἰ σπένδει θεοῖς ὅπου ἄδικος φόνος εἴργασται.* || 271 *ἴδω δὲ τούτων*: *ζηλοτυπίας μεστὸν τὸ πρᾶγμα· κινητικὸν δὲ πρὸς οἶκτον τὸ αὐτοέντην πρὸς κοίτῃ πατρός* ⟨Lv: *τὸ τὸν αὐτοέντην πρὸς κοίτην πατρὸς ὁρᾶν κείμενον* g⟩.

τὸν αὐτοέντην ἡμὶν ἐν κοίτῃ πατρὸς
ξὺν τῇ ταλαίνῃ μητρί, μητέρ' εἰ χρεὼν
ταύτην προσαυδᾶν τῷδε συγκοιμωμένην.
ἡ δ' ὧδε τλήμων ὥστε τῷ μιάστορι
ξύνεστ', Ἐρινὺν οὔτιν' ἐκφοβουμένη·
ἀλλ' ὥσπερ ἐγγελῶσα τοῖς ποιουμένοις,
εὑροῦσ' ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
πατέρα τὸν ἀμὸν ἐκ δόλου κατέκτανεν,
ταύτῃ χοροὺς ἵστησι καὶ μηλοσφαγεῖ
θεοῖσιν ἔμμην' ἱερὰ τοῖς σωτηρίοις.
ἐγὼ δ' ὁρῶσ' ἡ δύσμορος κατὰ στέγας
κλαίω, τέτηκα, κἀπικωκύω πατρὸς
τὴν δυστάλαιναν δαῖτ' ἐπωνομασμένην
αὐτὴ πρὸς αὐτήν· οὐδὲ γὰρ κλαῦσαι πάρα

272 γρ. αὐτοέντην Σ: αὐτοφόντην Llpeg | ἡμὶν Epe: ἡμῖν Llg ἧμιν Σ Bergkius || 273 χρεὼν lpeg: χρεῶν L || 274 προσαυδᾶν τῇδε g τῶδε corr. g[1] | 274. 275 ταύτην προσαυδᾶν, ἥ γε τῷ μιάστορι Nauckius || 275 om. L, in margine add. E | ἡ δ' l: ἥδ' L ἡ δ' l[1]peg || 276 ἐρινῦν Llg ἐριννὺν p ἐριννῦν e || 277 ὥσπερεὶ χλιδῶσα FGSchmidtius anal. soph. p. 21 | τοῖς πεπραγμένοις Nauckius || 278 τηροῦσ' Reiskius Meinekius ad Oed. Col. p. 254 αἱροῦσ' Froehlichius φρουροῦσ' Nauckius Wecklinus art. p. 52 ὁρῶσ' FGSchmidtius p. 19 ἱεροῦσ' ASeyffertus progr. brandenburg. 1868 p. 19 | ἐκείναν g | ᾗ g || 279 ἀμὸν Ep[1]: *μὸν Lp ἀμὸν e ἐμὸν lg | κατέκτανε eg || 280 μηλοσφαγεῖ p || 281. 282 in litura scripsit p[1] | ἔμμ**' e, corr. e[1] | ἱρὰ ς || 282 ὁρῶσ' ἡ Llp[1]e[2]g: ὁρῶσα pe || 283 κλάω Dindorfius || 285. 286 om. g, in margine add. g[1] | αὐτῇ L corr. E αὕτη g αὐτὴ g[1] | αὐτήν p: αὑτήν Lleg

272 * Phrynichus in Bekkeri anecd. I p. 15 αὐθέντης· ὁ αὐτόχειρ. ... Σοφοκλῆς δὲ λύσας τοὔνομα αὐτοέντης εἶπεν. ἔστι δὲ πολιτικώτερον τὸ αὐθέντης. ⟨conf. OR. 107⟩ * | τὸ δὲ ἡμιν ⟨ἧμιν L⟩ παρέλκει Ἀττικῶς. || 275 τολμηρά, ἀναιδής ⟨Suidas τλήμων⟩. || 278 εὑροῦσ' ἐκείνην ἡμέραν: τὸ εὑροῦσα τὸν πόθον καὶ τὴν ἐπιθυμίαν τῆς γυναικὸς σημαίνει· οἷον ἡδέως αὐτὴν θεωμένη ⟨h: θεωμένην Lg⟩. || 281 θεοῖσιν ἔμμην' ἱερά: οἱ Ἀργολικοὶ συγγραφεῖς ιγ' εἶναί φασι ⟨δέκα φασὶ g⟩ μηνὸς Γαμηλιῶνος ⟨ed. rom.: μηνὸς τὰ μηλίων Lv μῆνας τὰ μηλιῶνος g⟩, ὡς Δεινίας ἐν ζ' Ἀργολικῶν. | κατὰ μῆνα ⟨Suidas ἔμμηνα⟩. || 283 δακρύω. || 284 ἐφ' ᾧ ὠνομάσθη. | * Eustathius ad Hom. δ 528 p. 1507 καὶ τοῦτο λεχθείη ἂν Ἀγαμεμνόνειος δαὶς ἢ τράπεζα παροιμιακῶς ἐπὶ τῶν ἐπ' ὀλέθρῳ εὐωχουμένων, ἄλλον τρόπον τοῦτο ἤπερ ὁ Σοφοκλῆς ἱστορεῖ· ἐκεῖνος γὰρ Ἀγαμεμνόνειον δαῖτα λέγει τὴν κατ' ἔτος γινομένην, ὅτε τὸν Ἀγαμέμνονα † ἔρριψαν οἱ ἀνελόντες αὐτόν. *

τοσόνδ' ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
φωνοῦσα τοιάδ' ἐξονειδίζει κακά·
ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
τέθνηκεν; ἄλλος δ' οὔτις ἐν πένθει βροτῶν;
κακῶς ὄλοιο, μηδέ σ' ἐκ γόων ποτὲ
τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.
τάδ' ἐξυβρίζει· πλὴν ὅταν κλύῃ τινὸς
ἥξοντ' Ὀρέστην· τηνικαῦτα δ' ἐμμανὴς
βοᾷ παραστᾶσ'· οὐ σύ μοι τῶνδ' αἰτία;
οὐ σὸν τόδ' ἐστὶ τοὔργον, ἥτις ἐκ χερῶν
κλέψασ' Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου;
ἀλλ' ἴσθι τοι τίσουσά γ' ἀξίαν δίκην.
τοιαῦθ' ὑλακτεῖ, σὺν δ' ἐποτρύνει πέλας
ὁ κλεινὸς αὐτῇ ταῦτα νυμφίος παρών,
ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη,
ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος.

286 *ἔχει* Nauckius (mél. gréco-rom. II p. 703) || 288 *λάσκουσα* Nauckius || 290 *οὐδ' ἄλλος οὔτις* e || 291. 292 del. Schoellius | *μηδέ* eg: *μῆ δὲ* L *μῆ δέ* E *μὴ δέ* Elp | *γό*ων* e || 293 *κλύει* L *κλύ*η* E || 294 *τηνικαῦτά γ'* Blomfieldus || 295 *τῶν γ'* g | *αἰτία* peg: *αἰτίαι* Ll || 296 *τοὔργον* Llpeg || 297 *τὸν ἐμὸν* l(corr. l[1])e || 298 *τοι* om. e || 300. 301 *ὁ πάντα κλεινὸς οὗτος, ἡ πᾶσα βλάβη* Suidas (*ὑλακτεῖ*) | *ταὐτὰ* Blomfieldus || 301 del. Schoellius, afferunt interpolator Alexandri de fig. I, 14 p. 448 et Suidas (*ἄναλκις*) | *ἄναλ*κις* e

286 *ὅσον μοι θυμὸς ἡδονήν: ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. Αἰσχύλος 'οἵ τε* ⟨Lv: *οἱ δὲ* g⟩ *στεναγμοὶ τῶν πόνων ἐρείσματα'.* || 287 *εὐγενὴς λόγοις καὶ οὐ* ⟨add. E⟩ *πράξεσιν.* || 288. 289 *καὶ ταῦτα Ἀριστοφάνης παρῴδηκεν ἐν Γηρυτάδῃ.* | *ἀσεβές* ⟨Suidas *δύσθεον*⟩. | *σοὶ μόνῃ πατὴρ τέθνηκεν: οὐκ ἀνῃρέθη φησὶν ἀλλὰ τέθνηκεν, τῷ προσχήματι τῆς λέξεως παραλογιζομένη τὴν παρανομίαν.* || 299 *ἐμμανῶς καὶ ἀναιδῶς βοᾷ ὡς κύων* ⟨Suidas *ὑλακτεῖ*⟩. || 300 *κατὰ εἰρωνείαν* ⟨*εἴρηται* add. g⟩. || 301 * Svidas *ἄναλκις· ἀδύνατος, ἀσθενής. . . . καὶ αὖθις ἡ τραγῳδία φησὶ περὶ Αἰγίσθου 'ὁ πάντ' — ποιούμενος'.* * | *ὁ σὺν γυναιξὶ τὰς μάχας: συνεργούσης γὰρ Κλυταιμνήστρας ἀνεῖλεν τὸν Ἀγαμέμνονα* ⟨Suidas *ἄναλκις*⟩· *'Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο'* ⟨Hom. *ω* 97⟩. | * Evstathivs ad Hom. *Π* 492 p. 1072 *ἰστέον δὲ ὅτι ἐκ τοῦ 'πολεμιστὰ μετ' ἀνδράσιν' ἔοικε Σοφοκλῆς λαβὼν εἰπεῖν ἀντιθετικῶς τὸ 'ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος' διὰ τὸν* ⟨*τὸ τὸν* Michaelis⟩ *Αἴγισθον σὺν γυναικὶ ἀνδρίσασθαι τῇ Κλυταιμνήστρᾳ κατὰ τοῦ Ἀγαμέμνονος.* *

ἐγὼ δ' Ὀρέστην τῶνδε προσμένουσ' ἀεὶ
παυστῆρ' ἐφήξειν ἢ τάλαιν' ἀπόλλυμαι.
μέλλων γὰρ ἀεὶ δρᾶν τι τὰς οὔσας τέ μου
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.
ἐν οὖν τοιούτοις οὔτε σωφρονεῖν, φίλαι,
οὔτ' εὐσεβεῖν πάρεστιν· ἀλλ' ἔν τοι κακοῖς
πολλή 'στ' ἀνάγκη κἀπιτηδεύειν κακά.
ΧΟ. φέρ' εἰπέ, πότερον ὄντος Αἰγίσθου πέλας
λέγεις τάδ' ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;
ΗΛ. ἦ κάρτα. μὴ δόκει μ' ἄν, εἴπερ ἦν πέλας,
θυραῖον οἰχνεῖν· νῦν δ' ἀγροῖσι τυγχάνει.
ΧΟ. ἦ δἂν ἐγὼ θαρσοῦσα μᾶλλον ἐς λόγους
τοὺς σοὺς ἱκοίμην, εἴπερ ὧδε ταῦτ' ἔχει.

303 γρ. εγὼ δ' Ὀρέστην προσμένουσ' ἀεί ποτε L[2] prob. Wundero ἐγὼ δὲ τῶνδε προσμένουσ' ἀεί ποτε Nauckius | τ*νδε e, corr. e[2] | ἀεί p ἀεὶ p[1] || 304 παυστῆρ' p α supra ρ eraso | παυστῆρα τούτων ἡ τάλαιν' ἀπόλλυμαι Wunderus de schol. auctor. p. 36 || 305—309 del. Schoellius | ἀεὶ Llg Suidas (μέλλω): αἰεὶ L[2]pe | τί lg | μου Llpeg Suidas Eustathius ad Hom. *B* 135 p. 191: μοι florentinus Δ Thomas Magister p. 88 R. Porsonus adv. I p. 182 || 306 διέφθειρεν g διέφθορας Eustathius διέφθορα Suidas (διέφθειρα cod. A) || 308 οὔτ' g | εὐστομεῖν Morstadtius p. 17 | ἔν τοι Hermannus: ἐν τοῖσ Llpeg || 309 πολλήστ' ἀνάγκη* L πολλή τ' (γ' e[1]) ἀνάγκη lpeg || 312 ἤ L corr. L[2] | καὶ κάρτα aut ἦ κάρτα μὴ Meinekius ad Oed. Col. p. 255 || 313 θυραίαν g | ἰχνεῖν e || 314—316 del. Schoellius | ἦ δἂν Hermannus opusc. IV p. 382 Ahrensius de crasi p. 9 Schneidewinus: ἦ δ' ἂν Le[2] vindobonensis ἦ δ' ἀν l ἤ'δ ἂν g ἦ κἂν pe ἦ κἂν L[2] ἦ τἂν Doederlinus spec. ed. Soph. p. 58 Monkius || 315 ταῦθ' L corr. L[2] | ἔχει; Dindorfius

305 τὰς παρούσας. || 307 ἐν οὖν τοιούτοις: θαυμαστῶς καὶ ἀνθρωπίνως δικαιολογεῖται, ἐπεὶ οἱ ἐν δεινοῖς καὶ ἔξω λογισμοῦ τινὰ ⟨τι g πολλὰ v⟩ πράσσουσι καὶ εἰς θεοὺς ἀσεβῆ φθέγγονται. || 308 ⟨οὔτε μετὰ χαρμονῆς καὶ ἡδονῆς τοὺς θεοὺς τιμῶν ⟨leg. τιμᾶν⟩. add. v⟩ | ⟨ἐνταῦθα τὸ πάρεστι κατὰ κοινοῦ λάμβανε, τὸ δὲ πολλή τ' ἀνάγκη διὰ μέσου τίθει· εἰ γὰρ μὴ σὺ τοῦτο ποιήσεις, ἀλλὰ πρὸς τὸ 'πολλή τ' ἀνάγκη' τὸ 'κἀπιτηδεύειν' συντάξεις, ἀργὸν ἔσται τὸ τε, ὅπερ οὐ δεῖ. add. e.⟩ || 310 φέρ' εἰπέ: ἐπεὶ θρασυτέρῳ λόγῳ ἡ Ἠλέκτρα κέχρηται, ὁ χορὸς βουλόμενος περὶ Ὀρέστου πυθέσθαι, ἐρωτᾷ εἰ πάρεστιν Αἴγισθος ⟨εἴπερ ἐστὶν Αἴγισθος ἡγεμών g⟩. || 312 ἐν ἤθει. οἷον πολλοῦ γε δεῖ. | μὴ δόκει μ' ἂν εἴπερ: δαιμονίως ᾠκονόμηται τοῦτο ⟨Lgv: τὸ ἀπεῖναι τὸν Αἴγισθον h⟩ πρὸς τὴν χείρωσιν Κλυταιμνήστρας· τὸ δὲ εἴργεσθαι ἐξόδου [πρὸς] ⟨del. Neuius⟩ τὴν μείρακα περιπαθὲς μέν, χρήσιμον δὲ πρὸς τὴν ὑπόθεσιν ⟨v: ὑπέρθεσιν Lg⟩. | ⟨ἀντὶ τοῦ ἡγοῦ. add. L[2]⟩ || 313 * Eustathius ad Hom. *B* 742 p. 333 Δωρικὴ καὶ Ἀττική ἐστιν ἡ τοιαύτη ἐναλλαγὴ τῶν γενῶν ... καὶ ἡ θυραῖος παρὰ Σοφοκλεῖ. *

ΗΛ. ὡς νῦν ἀπόντος ἱστόρει, τί σοι φίλον.
ΧΟ. καὶ δή σ' ἐρωτῶ. τοῦ κασιγνήτου τί φῄς,
ἥξοντος ἢ μέλλοντος; εἰδέναι θέλω.
ΗΛ. φησίν γε· φάσκων δ' οὐδὲν ὧν λέγει ποεῖ.
ΧΟ. φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα.
ΗΛ. καὶ μὴν ἔγωγ' ἔσωσ' ἐκεῖνον οὐκ ὄκνῳ.
ΧΟ. θάρσει· πέφυκεν ἐσθλός, ὥστ' ἀρκεῖν φίλοις.
ΗΛ. πέποιθ', ἐπεί τἂν οὐ μακρὰν ἔζων ἐγώ.
ΧΟ. μὴ νῦν ἔτ' εἴπῃς μηδέν· ὡς δόμων ὁρῶ
τὴν σὴν ὅμαιμον, ἐκ πατρὸς ταὐτοῦ φύσιν,
Χρυσόθεμιν, ἔκ τε μητρός, ἐντάφια χεροῖν
φέρουσαν, οἷα τοῖς κάτω νομίζεται.

316 post *ἱστόρει* distinxit Wolffius: *ἱστορεῖν — φίλον;* Madvigius advers. crit. I p. 264 | *τό σοι* Matthiaeus griech. gramm. 488, 1 | *φίλων* L corr. L² | post 316 versum excidisse putat Iahnius || 317 *φής* Nauckius || 318 Electrae et 319 chori notam adscripsit g², qui in hac codicis parte personarum nomina addidit, sed ipse errorem correxit | *ξοντοσ* g corr. g² | *μέλλοντος, εἰδέναι* Wolffius || 319 *φησῒ* e *φησί* g | *φάσκον τ' οὐδὲν* L corr. L² | *φησίν γ' ἐφήκειν οὐδ' ἓν* Prinzius | *ὧν** L ʾ rescripsit L² | *ποεῖ* g: *πο*εῖ* L *ποιεῖ* lpe || 320 *πρᾶγμ'* Llpeg Eustathius ad Hom. *K* 480 p. 819: *πᾶς* Suidas (*ὀκνῶν*) || 321 *ἐκεῖνον οὐκ ἔσωσ'* Bothius. *ἔσωσα κεῖνον* Nauckius n. jahrb. f. philol. LXXXV p. 183 | *ὄκνῳ* e eraso *ν* || 322 *ὥσ τ'* g || 323 *ἐπεί* (rasura supra *ει* p) *τ' ἂν* p¹e: *ἔπειτ' ἂν* Lg *ἐπείτ' ἂν* L² *ἐπείτ' 'ἂν* l *ἐπεὶ τ' ἂν* p *ἐπεί τοι ἂν* L² (ead. m.) p in margine | *ἔζων* L *ζ* in litura | *ἔτι* Meinekius ad Oed. Col. p. 255 || 324 *εἴπησ μηδὲν* pe || 325 *ταυτοῦ* p *τ'ἀυτοῦ* g | *φύσιν* Ll¹p: *φύσει* c))*α* supra scr. p² *φύσαν* le *φῦσαν* g || 327 **φέρουσαν* p corr. p¹

317 *λείπει ἡ περί.* || 318 *βραδύνοντος.* || 320 *φιλεῖ γὰρ ὀκνεῖν*: *δύναται τὸ ὀκνεῖν Ὁμηρικῶς εἰρῆσθαι ἀντὶ τοῦ φοβεῖσθαι· ʻὀκνείω δ' ἵππων ἐπιβαινέμεν* ⟨*ἐπιβήμεναι* g recte omisso *ὠκειάων*⟩ *ὠκειάων'* ⟨Hom. *E* 255⟩. ⟨*ὥσπερ καὶ τὸ φιλεῖ[ν] ἀντὶ τοῦ εἴωθε.* add. v⟩ | *ἐπιχειρῶν πράττειν.* || 323 ⟨*εἰ μὴ ἐθάρρουν.* add. L²⟩ || 324 *ὡς δόμων ὁρῶ τὴν σὴν ὅμαιμον*: *οὐχ ὡς τῆς Χρυσοθέμιδος τἀναντία φρονούσης τῇ Ἠλέκτρᾳ, ἀλλ' ἐπειδὴ ὁρῶσιν ἐναγίσματα* ⟨ghv: *ἐναγήματα* L⟩ *βαστάζουσαν, τοῦτο πρῶτον πυθέσθαι βουλόμεναι κωλύουσιν αὐτὴν τῶν ἑξῆς λόγων.* ⟨*τὸ δ' ἀληθέστερον οἶμαι ὅτι οὐ βούλονται τὴν Χρυσόθεμιν κατακοῦσαι τῶν λεγομένων πρὸς τὴν Ἠλέκτραν, ὡς τῷ* ⟨*τὸ* v⟩ *τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας μέρει προστεθειμένης* ⟨*προστεθειμένος* v⟩*· καὶ δῆλον ἐκ τῶν ἑξῆς.* add. v. *τὸ δ' ἀληθέστερον οἶμαι ὅτι βούλονται τῶν Χρυσοθέμιδος κατακοῦσαι λόγων πρῶτον πρὸ τῆς Ηλέκτρας τῷ τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας μέρει προσπιθεμένης· καὶ δῆλον ἐκ τῶν ἑξῆς.* add. h⟩

ΧΡΥΣΟΘΕΜΙΣ

τίν' αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
ἐλθοῦσα φωνεῖς, ὦ κασιγνήτη. φάτιν,
κοὐδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις
θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά;
καίτοι τοσοῦτόν γ' οἶδα κἀμαυτήν, ὅτι
ἀλγῶ 'πὶ τοῖς παροῦσιν· ὥστ' ἄν, εἰ σθένος
λάβοιμι, δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ.
νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ,
καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μή.
† τοιαῦτα δ' ἀλλὰ καὶ σὲ βούλομαι ποεῖν.
καίτοι τὸ μὲν δίκαιον οὐχ ᾗ 'γὼ λέγω,
ἀλλ' ᾗ σὺ κρίνεις. εἰ δ' ἐλευθέραν με δεῖ
ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.

328 πρὸ g || 329 ἀλγοῦσα Seebeckius de Homero oedip. fab. auct. p. 34 | λάσκεις Nauckius || 330 χρόνῳ γε τόδε διδαχθῆναι Hartungus || 331 γρ. ψυχῆι ματαίαι L² || 332 τοσοῦτον γ' lg τοσοῦτον e (ν in litura e^2?) | τοσοῦτον οἶδα γ' ἀλλ' αὐτή μ', ὅτι Kolsterus philol. V p. 222 || 333 ἐπὶ g || 334 οἰαὐτοῖς e (" in litura) | φρονῶι L eraso ι || 335—340 ab interpolatore pro sophocleis quae deleverit substituta putat Schoellius | πλεῖν δ' ἐν κακοῖς ὑφειμένᾳ δοκεῖ Suidas (ὑφειμένοι) | πλὴν e, corr. e^2 | ὑφειμένη p | δοκῶ e, εῖ superscr. e^2 || 336 τί lg | δ' ἐμέ Hartungus || 337 τοιαῦτα δ' ἀλλὰ Llpeg: τοιαῦτ', ἀδελφή CStuerenburgius quaest. soph. p. 17 τοιαῦτα δ' ἄλλα Dindorfius τοιαῦτα δ' ἄττα MSchmidtius philol. XIV p. 465 τοιαῦτα δ', ἅσσα Wolffius τοιαῦτα δ' ἂν ἅμα — βουλοίμην Wecklinus art. p. 77 τοιαῦτα δῆτα Kayserus n. jahrb. f. philol. LXIX p. 508 τοιαῦτα μᾶλλον EHoffmannus ztschr. f. oest. gymn. 1854 p. 538 τοιαῦτα τἄμ', ἃ Schneidewinus τοιαῦτα κἀμὲ Kolsterus philol. V p. 222 Kayserus τοιαῦτ' ἅμ' ἄλλαις Eggertus quaest. soph. p. 34 | ποεῖν Lg: ποιεῖν pe πο*εῖν l || 338 ηγὼ L corr. L² || 339 δ** e, εἰ add. e^2 || 340 ἐστὶν τὰ πάντ' g | ἀκοστέα L | κρατούντων πάντ' ἀκουστέον (superscr. α) ἐμοὶ vindobonensis, in margine γρ. ἀκουστέα καὶ ἀκουστέον

328 τὸ ἑξῆς· τίνα φάτιν φωνεῖς; | τίν' αὖ σὺ τήνδε: ἐπίτηδες τοῖς ἀγρίοις ἤθεσιν ἀντιπαρατάττουσι πρᾶα, καθάπερ νῦν τῇ Ἠλέκτρᾳ Χρυσόθεμιν συνέζευξεν, καὶ τῇ Ἀντιγόνῃ τὴν Ἰσμήνην, ἕνεκα τοῦ διαποικίλλειν ταῖς ἀντιρρήσεσι τὰ δράματα. || 335 ὑφειμένῃ δοκεῖ: μὴ ⟨add. Brunckius⟩ ὅλον τὸ ἱστίον ἀναπετασάσῃ· ἀπὸ μεταφορᾶς ⟨add. g: om. Lv⟩ τῶν πλεόντων, οἳ πρὸς τὴν βίαν τῶν ἀνέμων οὐκ ἀντίσχοντες ὑφιᾶσι τῶν ἱστίων ⟨ἀνέμων συστέλλουσι τὰ ἱστία g⟩. | εἰς τὸ αὐτό. ὑφήσειν τὸ ἱστίον, οἷον συστέλλειν τὸ φρόνημα καὶ μὴ ἀντικρὺς μάχεσθαι. | οἱονεὶ τῇ προαιρέσει χρῶμαι. || 338 ὁ νοῦς· τί ὄφελος τῆς δικαιοσύνης, εἴ τις διὰ ταύτην τοῖς δεινοῖς περιπέσῃ;

ΗΛ. δεινόν γέ σ' οὖσαν πατρὸς οὗ σὺ παῖς ἔφυς
κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα
κείνης διδακτά, κοὐδὲν ἐκ σαυτῆς λέγεις.
ἔπειθ' ἑλοῦ γε θάτερ', ἢ φρονεῖν κακῶς
ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν·
ἥτις λέγεις μὲν ἀρτίως ὡς, εἰ λάβοις
σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν,
ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης
οὔτε ξυνέρδεις τήν τε δρῶσαν ἐκτρέπεις.
οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
οὐ ζῶ; κακῶς μέν, οἶδ', ἐπαρκούντως δέ μοι.
λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
τιμὰς προσάπτειν, εἴ τις ἔστ' ἐκεῖ χάρις.

341 *Ηλ.* om. g | *γε σ'* Le *γέσ'* l *σέ γ'* Monkius Blomfieldus | *δεινὸν σὲ φῦσαν* Nauckius *δεινὸν γεγῶσαν* Wolffius || 342 *δε* g || 344 *κείνη* g *γρ. εκεινης* g^2 | ** **αυτῆς* p corr. p^1 || 345. 346 deleturus erat Iahnius, 345—351 interpolatori tribuit Schoellius | *ἔπειθ'* Lle^2g: *ἐπεί θ'* Ŀp (cum glossa *τοι* Ŀ, *ἐπεί τοι* p) *ἐπείθ'* e | *ὁμολόγει θάτερ'* Hartungus | *θάτερ' ἢ* supra *ρ'* adscripto *ον* vindobonensis || 346 *καὶ μνείαν* (? *μνήμην*) Kayserus n. jahrb. f. philol. LXIX p. 506 || 347 *λέγοις* e || 348 *μίσος* e | *ἐκδείξας ἂν ἄν* e, corr. e^2 et e^3 || 350 *τήν δε* e || 351 *τ***** e, *αῦτα* add. e^2 | *κακοῖσιν* g || 352 *ἢ* p || 354 *ἐπαρκούντωσ* $Llpeg^1$: *ἐπαρκοῦν τος* g *ἀπαρκούντως* Thomas Magister p. 24 R. (*ἀπαρκεῖ κάλλιον ἢ ἀρκεῖ. Σοφοκλῆς· ἀπαρκούντως ἐμοί*) | *δ' ἐμοί* Brunckius Porsonus adv. p. 209 *ἐμοί* Thomas Magister || 355 *τεθνηκώτι* L corr. Ŀ || 356 *προσάπτειν* l *γειν* superscr. l^1

342 *φροντίζειν.* || 343 *ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα*: *ταῦτα ὁποῖά ἐστι τὰ* ⟨*τοῖς* g, an *ὅμοια*?⟩ *ἐπὶ* ⟨*ἐν*?⟩ *τῇ Ἀντιγόνῃ* ⟨549⟩, *ὅπου τῇ Ἰσμήνῃ λοιδορεῖ καὶ φησὶν αὐτὴν* ⟨v: *αὐτῇ* Lg⟩ *τὰ Κρέοντος φρονεῖν.* | *οἷον ἃ εἶπες ἐμὲ νουθετοῦσα.* || 345 *ἔπειθ' ἑλοῦ γε*: *ὁμολόγησον σαυτὴν ἢ φρονεῖν κακῶς προστιθεμένην τοῖς ἐχθροῖς, ἢ φρονοῦσαν* ⟨*οὕτως* add. gv⟩ *τῶν φιλτάτων ἀμνημονεῖν.* | *οἷον θάτερά σε δεῖ ὁμολογῆσαι, ἢ ὅτι κακῶς φρονεῖς, ἢ ὅτι ἑκοῦσα ἁμαρτάνεις καὶ παρορᾷς.* | ⟨*τὸ θάτερα ἀντὶ τοῦ θάτερον ἀττικῶς.* add. Ŀ⟩. | *ὁμολόγησον.* || 348 *λείπει ἡ κατά.* || 350 *ἀντὶ τοῦ ἐμέ. ἡ δὲ ἐκ ἀντὶ τῆς ἀπό· ἀποτρέπεις.* || 354 ⟨*οὐ ζῶ;* add. v⟩ *οὐ γὰρ ἐφίεμαι τρυφερώτερον* ⟨*τε καὶ τρυφηλότερον* add. v⟩ *ζῆν.* | *κακῶς μὲν ζῶ, ἀλλ' ὑπὲρ τοῦ λυπεῖν τοὺς ἐχθροὺς* ⟨*καὶ ἀνιᾶν* add. h⟩ *τοῦτο πράττω.* | *ὀδυνηρῶς.* || 355 *λυπῶ τούτους διὰ τὸ τιμᾶν τὸν πατέρα.*

σὺ δ' ἡμὶν ἡ μισοῦσα μισεῖς μὲν λόγῳ,
ἔργῳ δὲ τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ', οὐδ' εἴ μοι τὰ σὰ
μέλλοι τις οἴσειν δῶρ' ἐφ' οἷσι νῦν χλιδᾷς,
τούτοις ὑπεικάθοιμι· σοὶ δὲ πλουσία
τράπεζα κείσθω καὶ περιρρείτω βίος.
ἐμοὶ γὰρ ἔστω † τοὐμὲ μὴ λυπεῖν μόνον
βόσκημα· τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς λαχεῖν.
οὐδ' ἂν σύ, σώφρων γ' οὖσα. νῦν δ' ἐξὸν πατρὸς
πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ

357—362 interpolatori tribuit Schoellius | ἡμὶν e: ἡμίν Lp ἡμῖν Lle²g ἧμιν Bergkius. σὺ δὴ μάλ' Burgesius ad Eur. Troad. p. 89 || 359 οὖν Lpeg: om. Ll | εἰ δὶς τόσα Wecklinus art. p. 75 || 360 μέλλει eg | τίσ lg || 361 σὺ e, corr. e² | σοὶ δὴ Wakefieldus silv. crit. III p. 200 || 362 περιρρείτωι L || 363 ἐμοί γ' ἆρ l | παρέστω Wakefieldus | τοὐμὲ LpeΣ: τοῦ με LgΣ? τοῦμε l τόυμε et deinde τὸυμε l¹ | μόνον l μόνην l¹ | μὴ λιπεῖν Canterus Taylorus ad Lys. V p. 9 Wakefieldus silv. crit. III p. 143 μὴ 'κλιπεῖν Lobeckius ad Aiac. ed. I p. 312 μὴ 'λλιπεῖν Doederlinus μὴ γνυπτεῖν Bergkius ⟨Hesychius γνυπτεῖν· ἀσθενεῖν, μαλακίζεσθαι⟩ μὴ ἀλιτεῖν FGSchmidtius anal. soph. p. 25 τληπαθεῖν Meinekius ad Oed. Col. p. 256 μηδὲν εἰκαθεῖν Wecklinus art. p. 26. νιν λυπεῖν Brunckius τούσδ' ἀεὶ λυπεῖν Prammerus progr. znaim. 1864 p. 22 ἔστω μὴ λυπεῖν πατέρα μόνον Σ? Kayserus n. jahrb. f. philol. LXIX p. 508 τἀμὰ μὴ Mohrus obs. soph. p. 16 Schmalfeldus progr. eisleb. 1868 p. 20 τόνδε μὴ Schuppius ztschr. f. oest. gymn. 1863 p. 691 μὴ λυπεῖν γονῇ Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 416 μὴ λυπεῖν φίλους Wecklinus n. jahrb. f. phil. XCIII p. 807 ἔστω, τοὺς σύ, μὴ Eggertus quaest. soph. p. 57. τοὖν ἐμῇ λύπῃ μόνον Burgesius ad Eur. Troad. p. 180 τοὐν ἐμῇ λύπῃ μένειν Arnoldus soph. rett. p. 40 τοὐμμένειν λύπῃ MSchmidtius philol. XIV p. 466 τοὐμμενῆ λυπεῖν CHelbigius de ellipsis ap. trag. usu p. 44 τοῦτο δή, λυπεῖν, μόνον Wolffius τοῦτο δή, λύπη, μόνον WHoffmannus ztschr. f. gymn.-w. 1865 p. 371 μηνίειν μόνον Driessenus var. lect. p. 15 μὴ λιπεῖν γόον Hennebergerus progr. meining. 1849 p. 14 μὴ λήγειν γόων Schneidewinus τῶνδε μὴ λήγειν γόων Nauckius. μὴ λυποῦν Σ? Erfurdtius Lentingius ad Eur. Med. 598. τοὐμὸν οὐ λεῖπον Heimsoethius krit. stud. I p. 297 || 364 λαχεῖν Le vindobonensis: τυχεῖν Llpg || 365—368 del. Schoellius | οὖσα* e | δ' Llpeg: om. L || 366 ἀρίστο* e, corr. e²

362 δαψιλὴς ἔστω σοῦ ⟨σοι h⟩ ἡ τροφή. || 363 ἐμοὶ γὰρ ἔστω: ἐμοί, φησίν, ἔστω τροφὴ ἡ τῇ ἀνάγκῃ μόνον ἁρμόζουσα καὶ τὴν πείνην ἀπελαύνουσα· οὐ δέομαι γὰρ τοιαύτης τροφῆς ἀφ' ἧς ἡδονὴν σχήσω. | ⟨τοῦτο μόνον ἐμὲ βοσκέτω, τὸ μὴ λυπεῖν ἐμὲ αὐτήν, εἰ τοῖς φονεῦσι τοῦ πατρὸς πείθεσθαι ἀναγκασθήσομαι. add. L⟩ | τὸ ⟨v: τοῦ L⟩ μὴ λυπεῖν τὸν πατέρα. || 365 οὐδ' ἂν σύ, εἰ ἐσωφρόνεις, ἁβρῶς ἔζης ἠμεληκυῖα τοῦ πατρός. || 366 ⟨τὸ δὲ καλοῦ οὐκ ἔστιν ὄνομα ἀλλὰ ῥῆμα προστακτικὸν add. v⟩ ἀντὶ τοῦ κλήθητι, λέγου, ὀνομάζου.

τῆς μητρός. οὕτω γὰρ φανῇ πλείστοις κακή,
θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.
ΧΟ. μηδὲν πρὸς ὀργὴν πρὸς θεῶν· ὡς τοῖς λόγοις
ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὕτη πάλιν.
ΧΡ. ἐγὼ μὲν, ὦ γυναῖκες, ἠθάς εἰμί πως
τῶν τῆσδε μύθων· οὐδ' ἂν ἐμνήσθην ποτέ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
ἤκουσ', ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.
ΗΛ. φέρ' εἰπὲ δὴ τὸ δεινόν. εἰ γὰρ τῶνδέ μοι
μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.
ΧΡ. ἀλλ' ἐξερῶ σοι πᾶν ὅσον κάτοιδ' ἐγώ.
μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξεις γόων,
ἐνταῦθα πέμψειν ἔνθα μή ποθ' ἡλίου
φέγγος προσόψει, ζῶσα δ' ἐν κατηρεφεῖ
στέγῃ χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά.
πρὸς ταῦτα φράζου καί με μή ποθ' ὕστερον
παθοῦσα μέμψῃ. νῦν γὰρ ἐν καλῷ φρονεῖν.

367 οὕτωι L | φανεῖ vulgo | πλεῖστον Nauckius || 370 ἔν ἔστι κέρδος ἀμφοῖν l || 371 τ*σδε e, corr. e^2 | αὕτη e^1: αὐτὴ Llpeg || 372 εἰ-μή L corr. L || 373 οὐδ' e κὄυκ e^1 ονδ' g corr. g^1 κοὐδ' Brunckius || 375 λόγων Wolffius (in L nihil adnotatum est) || 376 εἰ δὲ τῶνδε Elmsleius ad Oed. Col. 115 Porsonus Edinb. rev. XIX p. 79 || 377 μεῖζον τί g | ἀντἴποιμ' e || 378 ἐξαιρῶ e | σοι Ll: τοι Lpeg τὸ vindobonensis || 379 γάρ p | λήξηισ Ll | γρ. καὶ λόγων L || 380 ἐνταῦθ p | ποθηλίου e || 381 κατόψει Eustathius ad Hom. σ 105 p. 1839 καθορῇ Ammonius p. 51 || 382 χθονὸς — κακά Suidas (ὑμνήσεις) | πόλεως τῆσδ' Nauckius (mél. gréco-rom. III p. 31) | ἐντὸς Schenkelius ztschr. f. oest. gymn. 1869 p. 538 | τὰ σά Wecklinus art. p. 55 || 384 ἐν καλῶ superscr. ut videtur ἐν καιρῶ δεῖ καλόν e

369 εἰ συγκεράσετε ⟨v: συγκεράσηται L συνκεράσειτε g⟩ τοὺς τρόπους, εὖ ἂν ἔχοι· ἡ μὲν γὰρ αὐστηρά ⟨v: σμικρὰ L⟩ ἡ δὲ ἀνειμένη. || 372 ἀντὶ τοῦ ἐν συνηθείᾳ εἰμί. || 373 τῶν παρ' αὐτῆς λεγομένων μύθων. || 375 μεγάλων ἢ πολυχρονίων. | ⟨ἐφέξει, κωλύσει. add. L⟩. || 381 κατεσκεπασμένη ⟨κατεσκεπασμένω L. cf. Svidas κατηρεφέα· κατεστεγασμένα. 'μέλλουσι — κακά'. Hesychivs κατηρεφές· κατεστεγασμένον⟩. ⟨σκοτεινῇ add. L⟩. || 382 * Evstathivs ad Hom. Ζ 171 p. 634 ἐοικέτω — τῷ ὑμνεῖν φαύλως ἐκλαμβανομένῳ ποτὲ κατὰ βαρεῖαν ἀντίφρασιν. Σοφοκλῆς ὑμνήσεις κακά, ἤγουν ὑβρίσεις. * || 384 νῦν, φησίν, εὔκαιρόν ἐστι [καλῶς] φρονῆσαι. | ⟨ἔγκαιρον. add. L⟩ | ἁρμόζει λίαν τὸ πρόσωπον Ἠλέκτρας τῇ Ἀντιγόνῃ.

ΗΛ. ἦ ταῦτα δή με καὶ βεβούλευνται ποεῖν;
ΧΡ. μάλισθ'· ὅταν περ οἴκαδ' Αἴγισθος μόλῃ.
ΗΛ. ἀλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.
ΧΡ. τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον;
ΗΛ. ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.
ΧΡ. ὅπως πάθῃς τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;
ΗΛ. ὅπως ἀφ' ὑμῶν ὡς προσωτάτω φύγω.
ΧΡ. βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;
ΗΛ. καλὸς γὰρ οὑμὸς βίοτος ὥστε θαυμάσαι.
ΧΡ. ἀλλ' ἦν ἄν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.
ΗΛ. μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
ΧΡ. ἀλλ' οὐ διδάσκω· τοῖς κρατοῦσι δ' εἰκαθεῖν.
ΗΛ. σὺ ταῦτα θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.
ΧΡ. καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.
ΗΛ. πεσούμεθ', εἰ χρή, πατρὶ τιμωρούμενοι.
ΧΡ. πατὴρ δὲ τούτων, οἶδα, συγγνώμην ἔχει.
ΗΛ. ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
ΧΡ. σὺ δ' οὐχὶ πείσῃ καὶ συναινέσεις ἐμοί;
ΗΛ. οὐ δῆτα. μή πω νοῦ τοσόνδ' εἴην κενή.
ΧΡ. χωρήσομαί τἄρ' οἷπερ ἐστάλην ὁδοῦ.
ΗΛ. ποῖ δ' ἐμπορεύῃ; ποῖ φέρεις τάδ' ἔμπυρα;
ΧΡ. μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.

385 *δή* Llpg: *γὰρ* e^2 in lit. Triclinius | *με* e *μοι* e^1 | *βεβούλευται* g corr. g^2 | *ποεῖν* lg Eustathius ad Hom. Ψ 728 p. 1326: *ποιεῖν* Lpe Eustathius ad Hom. Θ 9 p. 694 || 386 *ὅτάν* e || 387 *εἵνεκ'* l *οὕνεκ'* g || 389. 390 del. Schoellius | *δρᾶν* p || 391 *προσωτάτω φύγω* LDindorfius: *προσώτατ' ἐκφύγω* Llpeg *πορροτάτω* superscr. e || 393. 394 del Schoellius | **οὑμός* p, *ο* ex alia littera corr. || 395 *κακοῖς εἶναι φίλην* CHartungus quaest. mosch. p. 51 || 396 *κρατοῦσιν* g | *εἰκαθεῖν* Elmsleius ad Eur. Med. 186: *εἰκάθειν* Llpeg || 397 *ἐμοσ* l corr. l^1 || 398. 399 del. Morstadtius p. III, 398—403 Schoellius | *μὴξ* Ll *μὴ̀ξ* L^2 *μὴ''ξ* g | *παθεῖν* g *γρ. πεσεῖν* g^2 || 399 *τιμωρούμεναι* g || 401 *ἐστὶν* g || 402. 403 del. Morstadtius | *πείσει* vulgo || 403 *εἴη** e, corr. e^2 || 404 *χωρήσο*μαί* L alterum accentum add. L^2 | *γ' ἄρ* Benedictus | *οἷσπερ* g corr. g^1 || 405 *ποῦ* g vindobonensis | *ἐμπορεύηι* L *μ* ex *ν* facto? *ἐκπορεύῃ* vindobonensis *ἐμπορεύει* vulgo | *ποῖ* Llpe: *ποῦ* g *τῶ* e^1 *τῷ* vindobonensis ς || 406 *παποὶ* e, corr. e^1 aut e^2

385 * Eustathius ad Hom. Θ 9 p. 694 *τοιοῦτον καὶ τὸ ʽβεβουλευκὼς ἔχει᾽ παρὰ Σοφοκλεῖ* ⟨Oed. R. 701⟩, *παρ' ᾧ κεῖται καὶ τὸ βεβούλευνται ποιεῖν.* * || 391 *πάνυ θυμικῶς καὶ τὴν ἀδελφὴν αὐτοῖς συγκαταλέγει, ὡς τὰ αὐτῶν αἱρουμένης.* || 393 *εἰρωνεύεται ἐν ἤθει.* || 401 *Κακόν* ⟨*πρὸς τῶν κακῶν* g⟩ *ἐστιν ἐπαινέσαι ταῦτα τὰ ἔπη.* || 403 *ἀντὶ τοῦ συνέσεως κούφη* ⟨Suidas *κενεόν*⟩.

ΗΛ. πῶς εἶπας; ἦ τῷ δυσμενεστάτῳ βροτῶν;
ΧΡ. ὅν ἔκταν' αὐτή· τοῦτο γὰρ λέξαι θέλεις.
ΗΛ. ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ' ἤρεσεν;
ΧΡ. ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοί.
ΗΛ. ὦ θεοὶ πατρῷοι συγγένεσθέ γ' ἀλλὰ νῦν.
ΧΡ. ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;
ΗΛ. εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἂν τότε.
ΧΡ. ἀλλ' οὐ κάτοιδα πλὴν ἐπὶ σμικρὸν φράσαι.
ΗΛ. λέγ' ἀλλὰ τοῦτο. πολλά τοι σμικροὶ λόγοι
ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς.
ΧΡ. λόγος τις αὐτήν ἐστιν εἰσιδεῖν πατρὸς
τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν
ἐλθόντος ἐς φῶς· εἶτα τόνδ' ἐφέστιον
πῆξαι λαβόντα σκῆπτρον οὑφόρει ποτὲ
αὐτός, τανῦν δ' Αἴγισθος, ἔκ τε τοῦδ' ἄνω

407 ἦ Lpg: εἰ L ἢ le ἄρα superscr. e || 408 ὅν γ' Monkius || 409 ἐκ τῶν e, corr. e[2] | τῷ τοῦτ' Llpg: τῶτ' e τῷ τόδ' Elmsleius ad Eur. Med. 326 || 410—416 suspecti videntur Morstadtio p. IV | του om. g τοῦ e[2] | δοκεῖν ἐμοί suspecta videntur Nauckio || 411 συγγένεσθ'** ἀλλὰ vindobonensis συγγένεσθ' ἀλλὰ Suidas || 412 τί lpg || 413 λέγοις Triclinius: λέγεις Llpeg || 414 σμικρὸν Ll[1]g: σμικρῶι L (ον superscr. L)lpe σμικρῶν ς | φρᾶσαι l φράσω l[1]g || 415—425 ab interpolatore in locum narrationis sophocleae substitutos putat Schoellius | πολλά τοι l superscr. κισ || 416 κατόρθωσαν eg || 417 τίσ lpg | αὐτήν τις e | ἐστὶν αὐτήν g || 418 del. Nauckius | τὲ p | νυκτέραν Morstadtius p. 18 || 419 εἰς e | ante εἶτα narrationis partem excidisse conl. 644 statuit Morstadtius || 420 σκῆπτρον l | ὀὺνφόρει eraso ν l οὔ'φόρει p οὔ'φόρει e ὀύ'φόρει g || 421 τὰνῦν l | δ' om. p | ἐκ δὲ g

410 ⟨κατὰ τὸ δοκοῦν ἐμοί. δοκέον γὰρ δοκεῖν οἱ Ἀττικοὶ λέγουσιν, οὐ δοκοῦν, καὶ πλέον πλεῖν, καὶ δέον δεῖν. add. L⟩ || 411 συγγένεσθε: συμμαχήσατε, συνεργήσατε, συμπράξατε ἡμῖν κἂν νῦν ⟨Suidas⟩. | ἀκούσασα δέ, ὅτι ἐν τοῖς ὀνείροις δείματά τινα τῇ Κλυταιμνήστρᾳ γέγονε, θαρσεῖ καὶ ἐπικαλεῖται τοὺς θεούς, εἰ καὶ μὴ πρότερον, κἂν νῦν παρεστάναι ⟨g: παριστάναι Lv⟩. | * Suidas ἀλλὰ νῦν· ʽἰ θεοὶ — νῦνʼ· ἀντὶ τοῦ διὰ τάχους ἡ τραγῳδία φησίν. * || 414 ἀντὶ τοῦ πλὴν ὀλίγων. || 415 * Suidas πολλά τοι — βροτούς· ἀντὶ τοῦ ἀπὸ τῶν τυχόντων καὶ βλάπτονται καὶ ὠφελοῦνται. * || 416 * Eustathius ad Hom. Z 39 p. 623 ἀντίκειται δὲ τῷ σφάλλεσθαι τὸ ὀρθοῦσθαι, ταὐτὸν δ' εἰπεῖν κατορθοῦσθαι, ὡς δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ ἔσφηλαν — βροτούς. * || 418 ὡς αὖθις αὐτοῦ ⟨ἐλθόντος εἰς φῶς: ἀντὶ τοῦ v⟩ ἀναζήσαντος καὶ προσομιλήσαντος. || 419 ἐπὶ τὴν οἰκίαν γενόμενον, τουτέστιν ἔποικον ⟨v: ἐπ' οἶκον Lg⟩ ⟨Suidas ἐφ' ἑστίας⟩.

βλαστεῖν βρύοντα θαλλόν, ᾧ κατάσκιον
πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα.
τοιαῦτά του παρόντος, ἡνίχ' Ἡλίῳ
δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου.
πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
πέμπει μ' ἐκείνη τοῦδε τοῦ φόβου χάριν.
πρός νυν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν
ἐμοὶ πιθέσθαι μηδ' ἀβουλίᾳ πεσεῖν·
εἰ γάρ μ' ἀπώσῃ, σὺν κακῷ μέτει πάλιν.
ΗΛ. ἀλλ', ὦ φίλη, τούτων μὲν ὧν ἔχεις χεροῖν
τύμβῳ προσάψῃς μηδέν· οὐ γάρ σοι θέμις
οὐδ' ὅσιον ἐχθρᾶς † ἀπὸ γυναικὸς ἱστάναι
κτερίσματ' οὐδὲ λουτρὰ προσφέρειν πατρί·
ἀλλ' ἢ † πνοαῖσιν ἢ βαθυσκαφεῖ κόνει
κρύψον νιν, ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς
τούτων πρόσεισι μηδέν· ἀλλ' ὅταν θάνῃ,

422 ᾧ peg[2] in margine: τῶι Lg τῶι l οὗ Schaeferus melet. crit. p. 138. κλῶνα, τῷ Bergkius || 423 χ***αν p (χώραν?) χθόναν p[1] || 424 τοιαῦτα τοῦ g schol. Oed. Col. 477 || 425 τοὔναρ pe | ἐξηγουμένου g[1] ἐξηγουμένου L (ησ quod superscripserat L erasum est) ἐξηγουμένου* l: ἐξηγουμένησ L[1]l[1]peg || 427 μ' ἐκείνη gς: με κείνη Llpe || 428—430 del. Morstadtius p. IV Schoellius | ἠλ'. praescr. Llpe[2] (in litura) om. g del. Turnebus | πρός νυν Brunckius: πρὸσ νῦν Llpeg || 429 πείθεσθαι g | μὴ δ' lg || 430 ἀπώσει vulgo || 431 ἠλ' g: om. Llpe (in e litura) add. Turnebus | ὧν om. e, add. e[1] | χεροῖν e[1] in litura || 433 ἀπὸ Lpe: om. Llg omissum superscr. vindobonensis πρὸς olim Dindorfius Wecklinus art. p. 6 ἐκ Meinekius ad Oed. Col. p. 257. ὅσιόν ἐστ' ἐχθρᾶς γυναικὸς Kayserus act. sem. phil. heidelb. p. 54 τόδ' οὐδ' ὅσιον ἐχθρᾶς γυναικὸς Schneidewinus ἐχθρᾶς ἱστάναι κτερίσματα Γυναικὸς Nauckius (n. jahrb. f. phil. LXXXV p. 179. mél. gréco-rom. II p. 704) || 435 ἢ πνοαῖσιν Llpe (cum scholio ἀνέμοις· ῥίψον δῆλον) g: ἢ ῥοαῖσιν Heathius ἢ 'ν ῥοαῖσιν ASeyffertus progr. brandenb. 1868 p. 19 ἢ 'ν πόαισιν Froehlichius ἢ πέτραισιν Mohrus obs. soph. p. 21 | βαθυσκάφει p | κόνϊν e, corr. e[1] || 436 κρύψο L corr. L | ἔνθεν Meinekius ad Oed. Col. p. 257 || 437 πρόσεισιν l | ἔστ' ἂν Turnerius

422 ⟨θαλλόν: add. v⟩ ἐσήμανεν αὐξηθησόμενον Ὀρέστην [τὸν θαλλόν] ⟨L: om. gv⟩. || 424 ἡνίχ' ἡλίῳ: τοῖς γὰρ παλαιοῖς ἔθος ἦν ἀποτροπιαζομένους τῷ ἡλίῳ διηγεῖσθαι τὰ ὀνείρατα. | ἡλίῳ ἀντὶ τοῦ ἡμέρᾳ. ἤκουσα, φησί, τοῦ ὀνείρου, ἡνίκα ἡμέρας γενομένης διηγεῖτο αὐτό τινι, κἀκεῖνος ⟨κἀκείνη g⟩ ἐμοί. || 430 εἰ γάρ μ' ἀπώσῃ: εἰ γὰρ νῦν, φησί, δεομένην σου ἀπώσῃ με, κακοῦ σοί τινος γενομένου μετὰ ταῦτα αὐτὴ μετελεύσῃ με καὶ ἀξιώσεις μετὰ σοῦ γενέσθαι. || 432 καὶ ἵνα μὴ ἀποτρέψῃ, εἴ τι κακὸν μέλλοι γενέσθαι διὰ τῶν ὀνείρων. || 436 εὐνὴν νῦν τὸν τάφον ⟨κατ' εὐφημισμόν add. v⟩.

κειμήλι' αὐτῇ ταῦτα σῳζέσθω κάτω.
ὀρχὶν δ' ἄν, εἰ μὶ τλημονεστάτη γυνὴ
πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς
οὐκ ἄν ποθ' ὅν γ' ἔκτεινε τῷδ' ἐπέστεφε.
σκέψαι γάρ, εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
γέρα τάδ' οὑν τάφοισι δέξεσθαι νέκυς,
ὑφ' ἧς θανὼν ἄτιμος ὥστε δυσμενὴς
ἐμασχαλίσθη, κἀπὶ λουτροῖσιν κάρᾳ

438 *κειμήλι'* superscr. *α* p | *σῳζέσθω* l: *σωζέσθω* Lpeg *σωζέσθων* ς || 439—441 del. Schoellius | *δ' αν* L (* add. L²) *γαρ* superscr. L² *δ' ἂν* e *γὰρ* e¹ || 440 *ἔβλαστε πασῶν* Dobraeus adv. II p. 49 | *δυσχερεῖς* Morstadtius p. 18 || 441 *ᾧ γ'* Morstadtius | *ἔκτεινεν· ὧδ'* Kolsterus philol. V p. 203 || 442 *αὐτῆς* Schenkelius ztschr. f. oest. gymn. 1869 p. 538 || 443 *γέρατα δ'* g | *ὀὺν* L *ὀὺν* L² *οὐν* lpg (*ὃν ἐν* g³ in margine) *οὐν* e, supra *ν* add. e² | *δέξεσθαι* Heathius Schaeferus melet. crit. p. 87 Elmsleius ad Ai. 1081: *δέξασθαι* Llpeg | *δεξασνεκυσ* L, erasit et in litura *νέκυσ* scripsit L² *νεκὺν* g *πόσις* Nauckius (n. jahrb. f. phil. LXXXV p. 158) || 444—447 aut graviter corruptos aut spurios iudicat Nauckius | *ἄποτμος* Nauckius | *θανών, ἄτιμος ὥς τις* Morstadtius || 445 satis multa excidisse putat Morstadtius | *ἐμασχαλίσθη* p (*ασχα* p¹ in litura) *λουτροῖσι* eg | *κάρᾳ* Σ Eustathius Brunckius: *κάρα* LlpegΣ | *λύτροισιν φόνου* Nauckius

439 *ἀρχὴν δ' ἄν, εἰ μὴ τλημονεστάτη*: *καθόλου, φησίν, εἰ μὴ τολμηροτάτη πασῶν ἐτύγχανεν* ⟨*γυναικῶν* add. v⟩, *οὐκ ἄν ποτε ταῦτα ἔπραττεν ἐπὶ τιμῇ τοῦ πατρός, ὃν αὐτὴ ἀνεῖλεν· εἰκὸς οὖν αὐτὴν τοῦτο ἐπί τινι λυσιτελοῦντι πράττειν, ᾧ μὴ ὑπουργήσῃς σύ.* || 445 *οἷον ὑπὸ τὰς μασχάλας ἔλαβεν τὰ ἄκρα, ἀντὶ τοῦ ἠκρωτηριάσθη.* | *ἐμασχαλίσθη κἀπὶ λουτροῖσιν κάρα*: *εἰώθεισαν* ⟨*εἰώθασιν* g Suidas⟩ *τῶν ἀναιρουμένων εἰς τὰς κεφαλὰς ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ.* ⟨Suidas *μασχαλισθῆναι. ἀποτροπιαζόμενοι.* etym. magn. p. 574 *μασχαλίζω.*⟩ | *τὸ δὲ ἐξέμαξεν* ⟨gv: *ἐξαίμαξεν* L⟩ *ἐπὶ τοῦ Ἀγαμέμνονος, ὃς ἐμασχαλίσθη ὑπὸ τῆς Κλυταιμνήστρας, καὶ τὸ κάρα αὐτοῦ τὰς κηλῖδας τούτων τὰς ἐπὶ τῷ φόνῳ ἐξέμαξεν* ⟨gv: *ἐξαίμαξεν* L⟩. | *οὐ δεῖ δὲ διαφωνίαν δοκεῖν εἶναι πρὸς τὸν Ὅμηρον* ⟨gv: *ὄνειρον* L⟩, *ἐπεί φησιν ἐκεῖνος* ⟨*δ* 535. *ἔκτεινε* g⟩ '*δειπνίσσας* ⟨*δειπνήσας* Lv *δειπνίσας* g⟩ *ὥς τίς τε κατέκτανε* ⟨gv: *κατέκτεινε* L⟩ *βοῦν ἐπὶ φάτνῃ*'. *ἤρκει γὰρ τὰ ὅλα συμφωνεῖν τῷ πράγματι· τὰ γὰρ κατὰ μέρος ἐξουσίαν ἔχει ἕκαστος ὡς βούλεται πραγματεύσασθαι, εἰ μὴ τὸ πᾶν βλάπτῃ τῆς ὑποθέσεως.* | *ἄλλως. εἰώθεσαν* ⟨*εἰώθασιν* g⟩ *οἱ δρῶντες ἐμφύλιον φόνον* ⟨*πόλεμον* v Suidas⟩ *ἀκρωτηριάζειν τοὺς ἀναιρεθέντας, ἐκ παντὸς μέρους τοῦ σώματος ἀποτεμνόμενοι* ⟨gv: *ἀποταμνόμενοι* L⟩, *καὶ* ⟨*καὶ* Suidas: om. Lgv⟩ *περιάπτειν ἑαυτοῖς τὰ ἄκρα συνείραντες* ⟨*συνείροντες* v Suidas⟩, *διὰ τούτων ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι, διὰ τὸ μὴ παθεῖν εἰς ὕστερόν τι παρ' ἐκείνων δεινόν. ἐφόρουν δὲ εἰς*

κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς 446
λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;

446 ἐξέμαξεν L²pegΣ: ἐξαίμαξεν Lle¹ | μὴν g || 447 αὐτὴ L corr. L² αὐτῇ pe

τὰς μασχάλας τὰ ἄκρα, ὃ καὶ μασχαλίσαι ⟨v: μασχαλίσθαι Lg μασχαλισθῆναι Suidas⟩ ἔλεγον. ⟨Suidas μασχαλισθῆναι. etym. magn. p. 574 μασχαλίζω.⟩ | ἄλλως. ἐπὶ ταῖς καθάρσεσι τοῦ φονευθέντος τὰ ἄκρα ἔτεμνον, καὶ περὶ τὴν μασχάλην αὐτοῦ ἐκρέμαζον αὐτά, ἵνα, φασίν ⟨Suidae cod. A: φησὶν Lgv⟩, ἀσθενὴς γένοιτο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα. καὶ Ἀπολλώνιος ⟨IV, 477. Ἀπολλόδωρος g Ἀπόλλων v⟩ 'ἐξάργματα τέμνε ⟨v: τέμνεν L τέθενεν g⟩ θανόντος' περὶ ⟨Suidas: om. Lgv⟩ τοῦ Ἰάσονος. ⟨Suidas μασχαλισθῆναι. etym. magn. p. 574 μασχαλίζω.⟩ | Photivs et Svidas μασχαλίσματα. Ἀριστοφάνης ⟨φησί add. Nauckius Aristoph. Byz. p. 221⟩ παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ κεῖσθαι τὴν λέξιν, ἔθος σημαίνουσαν. οἱ γὰρ φονεύσαντες ἐξ ἐπιβουλῆς τινα[ς] ὑπὲρ τοῦ τὴν ⟨τὴν om. Photius⟩ μῆνιν ἐκκλίνειν ἀκρωτηριάσαντες μόρια τούτου ⟨οἷον ὤτων ῥινῶν add. Hesychius⟩ καὶ ὁρμαθίσαντες ἐξεκρέμασαν ⟨διείραντες ἐκρέμνων ἐκ Hesychius⟩ τοῦ τραχήλου διὰ τῶν μασχαλῶν διείραντες καὶ μασχαλίσματα προσηγόρευσαν ⟨Hesychius μασχαλίσματα· φονεύσαντες — μασχαλῶν⟩. Svidas ἐμασχαλίσθη· ἔθος ἦν τοῖς ἀρχαίοις, ὁπότε φονεύσειαν ἐξ ἐπιβουλῆς τινα, τὸ ἔργον ἀφοσιουμένοις ἀκρωτηριάζειν τὸν νεκρὸν καὶ τῶν μορίων ὁρμαθὸν ποιήσαντας κρημνάναι κατὰ τοῦ τραχήλου διὰ τῶν μασχαλῶν διείροντας· ἀφ' οὗ δὴ καὶ μασχαλίσματα προσηγόρευσαν αὐτά. Σοφοκλῆς ἐν Τρωίλῳ 'πλήρη μασχαλισμάτων'. εἴρηκε τὸν μασχαλισμὸν καὶ ἐν Ἠλέκτρᾳ. Hesychivs μασχαλισθῆναι· ἀνηρτῆσθαι ἐκ τῶν μασχαλῶν. etymologicvm magnvm p. 118 ἀπάργματα λέγεται τὰ ὑπὸ τῶν τραγῳδῶν λεγόμενα μασχαλίσματα· ταῦτα δέ ἐστι τὰ τοῦ φονευθέντος ἀκρωτηριάσματα. ἦν γάρ τι νόμιμον τοῖς δολοφονήσασιν ἀφοσιῶσαι τὸν φόνον διὰ τοῦ δολοφονηθέντος ἀκρωτηριασμοῦ. τὰ δὲ ἀκρωτήρια εἴροντες καὶ συρράπτοντες διὰ τῶν τοῦ νεκροῦ μασχαλῶν καὶ τοῦ τραχήλου περιετίθουν τῷ νεκρῷ, καθὰ φησὶ Σοφοκλῆς 'ὑφ' ἧς — ἐμασχαλίσθην'. ὅτι δὲ καὶ ἐγεύοντο τοῦ αἵματος καὶ ἀπέπτυον Αἰσχύλος μαρτυρεῖ καὶ Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά. schol. Apoll. Rhod. IV, 477 ἐξάργματα τῶν ἀποθανόντων οἱ δολοφονοῦντες ἀρχαίως ἀκρωτηριάσματά τινα ἐποίουν τοῦ ἀναιρομένου καὶ ταῦτα λαβόντες ἐξήρτων τοῦ τραχήλου αὐτῶν. τῶν δὲ καλουμένων ἀκρωτηριασμάτων ἄπειρα καὶ πολλὰ ἐξάργματα. ἔπειτα τοῦ αἵματος αὐτοῦ λαβόντες τρὶς εἰς τὸ στόμα ἀπέπτυον. τοῦτο δὲ ἐποίουν πρὸς τὸ ἐξιλάσασθαι τὴν δολοφονίαν. Hesychivs τομία· τὰ ἀποτμήματα καὶ ἀκρωτηριάσματα τοῦ νεκροῦ. || 446 κηλῖδας ἐξαίμαξεν: ἢ τῇ ἑαυτῶν κεφαλῇ ἀπέμασσον τοῦ ξίφους τὰς κηλῖδας, ἢ τῇ τοῦ φονευομένου, ὥσπερ τὰς ἐπὶ τῷ μύσει κηλῖδας ἀποτρεπόμενοι. ⟨cf. Evstathivs ad Hom. τ 92

οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας
κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ' ἀλλ' ὅμως
ἄχω, δὸς αὐτῷ, τήνδ' ἀλιπαρῆ τρίχα
καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προσπίτνουσα γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν,
καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδί,
ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις

449 *φόβασ* Llpe Suidas: *κ* et *μ* supra *φ* et *β* scr. L del. L *κόμασ* g || 451 *αχω* L *ἄχω* Llpeg | *τήνδ' ἀλιπαρῆ* LlpegΣ Suidas Eustathius: *τηνδε λιπαρῆ* Σ *τήνδε τ' ἀλιπαρῆ* Froehlichius Bergkius *τήνδε γ' ἀλίπαρον* Hartungus *τήνδε τε λιπαρὰν* Deventerius de interpol. Soph. p. 60 || 452 del. Schoellius | *ζ*ῶμα* e *ζῶσμα* vindobonensis || 453 *προσπίτνουσα* Ll: *προσπιτνοῦσα* Lpeg || 454 *ἐχθρὸν εἰς αὐτοὺς* e | *εἰς φάος μολεῖν* Nauckius || 455 *χειρὸσ* g || 456 *αὐτοῦ 'λθόντ'* Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 417 | *ἐπεμβῆναι* Lpeg: *ἐπιβῆναι* Ll | *ποτέ* Wakefieldus silv. crit. I p. 103 || 457 *τολοιπὸν* p

p. 1857 *καὶ ἔστιν εὑρεῖν τοιαύτην ἔννοιαν καὶ παρὰ τῷ Σοφοκλεῖ, ἔνθα φαίνεται ταῖς πεφονευμένων κεφαλαῖς ἐναπομάττεσθαι τὸ ἐν τοῖς ξίφεσιν αἷμα, ὡς εἰς κεφαλὴν δῆθεν ἐκείνοις τρεπομένου τοῦ κακοῦ.*⟩ || 448 *προοικονομικῶς* ⟨Lv: *προωκονόμισεν* g *προῳκονόμησεν* Dindorfius⟩ *ἀποστέλλει* ⟨*ἀποστέλλουσα* Dindorfius *ἀποστέλλων* Iahnius⟩ *αὐτὴν εἰς τὸν τάφον, ἐπὶ τὸ εὑρεῖν τὸν βόστρυχον Ὀρέστου.* || 449 * Svidas *φόβας τὰς τρίχας.* '*τεμοῦσα — φόβας*'. * || 451 * Svidas *ἄχω· ἀντὶ τοῦ ἃ ἔχω. Σοφοκλῆς* '*κἀμοῦ — ἄχω*'. * *ἀλιπαρῆ τρίχα: περιπαθῶς* ⟨*περιπαθὲς* g⟩ *μὲν τὸ τῆς πενίας· τὸ δὲ ἀλιπαρῆ ἀντὶ τοῦ αὐχμηράν. ἐν δὲ τῷ ὑπομνήματι* ⟨*ἀλιπαρῆ — ὑπομνήματι* om. g⟩ *λιπαρῆ, ὅ ἐστιν ἐξ ἧς αὐτὸν λιπαρήσομεν, ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα.* ⟨Suidas *ἀλιπαρῆ.* Hesychivs *ἀλιπαρῆ· αὐχμηρά.* Evstathivs ad Hom. *K* 31 p. 787 *τὸ αὐχμηρόν, ᾧ ἴσον τὸ ἀλιπές, ἔτι δὲ καὶ τὸ ἀλιπαρὲς κατὰ τὸ ἀλιπαρῆ τρίχα.*⟩ 452 *καὶ ζῶμα τοὐμόν: σύμφωνον τούτῳ τὸ* ⟨v: *τοῦτο τὸ* L⟩ '*ὧδε μὲν ἀεικεῖ σὺν στολᾷ*' ⟨190⟩. | *ζῶμα* ⟨*ζῶσμα* v⟩ *δὲ νῦν τὴν ζώνην δηλοῖ, οὐ τὸ ἔνδυμα* ⟨Suidas *ζῶμα*⟩, *ἵνα τούτῳ στέφῃ τὸν τάφον ἀντὶ μίτρας.* | *δίδωσι γὰρ τὸ ζῶμα* ⟨*ζῶσμα* v⟩ *ἀντὶ ταινίας.* * Evstathivs ad Hom. *σ* 30 p. 1835 *ἰστέον δὲ ὅτι ἐκ τοῦ ζῶσαι … καὶ τὸ παρὰ Σοφοκλεῖ ζῶμα δίχα τοῦ σίγμα, οἷον* '*καὶ ζῶμα — ἠσκημένον*', *ὃ ταὐτόν ἐστι τῇ ζώνῃ.* * || 455 *ἀντὶ τοῦ ἰσχυροτέρας. οἷον μετὰ δυνάμεως μείζονος.* || 457 * Evstathivs ad Hom. *Z* 47 p. 623 *ὅτι δὲ ἱ ἀφνειὸς δύναται καὶ ἀφνεὸς λέγεσθαι δῆλον καὶ ἐκ τοῦ χερσὶν ἀφνεωτέραις παρὰ Σοφοκλεῖ.* ⟨conf. ad *ξ* 463 p. 1769⟩ *

χερσὶ στέφωμεν ἢ τανῦν δωρούμεθα.
οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον
πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα.
ὅμως δ', ἀδελφή, σοί θ' ὑπούργησον τάδε
ἐμοί τ' ἀρωγὰ τῷ τε φιλτάτῳ βροτῶν
πάντων, ἐν Ἅιδου κειμένῳ κοινῷ πατρί.
ΧΟ. πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δέ,
εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.
ΧΡ. δράσω· τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν.
πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
σιγὴ παρ' ὑμῶν, πρὸς θεῶν, ἔστω, φίλαι·
ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

ΧΟ. εἰ μὴ 'γὼ παράφρων (στροφή)
μάντις ἔφυν καὶ γνώμας
λειπομένα σοφᾶς,
εἶσιν ἁ πρόμαντις
Δίκα, δίκαια φερομένα χεροῖν κράτη·

458 τὰνῦν l || 459 οἶμαι τί l || 460 δυσπρόσωπ' vindobonensis || 461 ἀδελφῆν l ἀδελφῆ e ἀδελφὴ l^1e^1 | σὺ δ' ὑπουργεῖσ g || 463 ἅδου pe ᾅδη g || 466 οὐδ' Eggertus quaest. soph. p. 17 | λόγοιν Scaliger. λόγοιν δυοῖν ἐφίζειν ASeyffertus progr. brandenb. 1868 p. 20 || 467 κλύοντ' ἐρίζειν Nauckius (mél. gréco-rom. II p. 706) Schmalfeldus progr. eisleb. 1868 p. 21 | ἐπισπεύδει Ioannes Stobaeus floril. 11, 9 ἐπισπέρχειν MSchmidtius philol. XIV p. 468 (Hesychius ἐπισπέρχειν· ἐπισπεύδειν) || 468—471 del. Schoellius || 469 ἡμῶν e, corr. e^2 || 470 εἴ g || 471 δόκει Meinekius ad Oed. Col. p 258 | τόλμαν τήνδε Nauckius | τῶνδε Erfurdtius || 472 'γὼ Brunckius: ἐγὼ Llpeg || 473 ἐξέφυν g || 474 λιπομένα g || 475 ἡ g || 476 δίκα e δίκη e^2 δίκα om. g add. g^2 | φερομένα g superscr. η g^1 || 477 χεροῖν — ὦ separato versu L

463 τῷ ἐμῷ καὶ σῷ. || 466 τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον: οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν περὶ τοῦ δικαίου, ὥστε περὶ αὐτοῦ δύο ὄντας ἐρίζειν· δεῖ γὰρ τὸν ἕτερον τῷ ἑτέρῳ πείθεσθαι. ἢ τὸ οὐκ ἔχει λόγον ἀντὶ τοῦ οὐ παρέχει πρόφασιν ⟨Suidas λόγον ἔχειν⟩. | ἄλλως. οὐ δισταγμοῦ, φησί, καὶ ἀμφιβολίας προσδεῖται τοῖς δύο, πότερον δεῖ ⟨ed. rom.: διὰ Lv⟩ ταῦτα ποιεῖν ἢ προσερίζειν. || 469 σιγὴ παρ' ὑμῶν: εὐλαβὴς οὖσα ἡ Χρυσόθεμις κρύπτειν ἀξιοῖ τὸν χορόν. || 471 τὴν ἐπιχείρησιν. || 472 εἰ μὴ ἐγὼ παράφρων: ὁ χορὸς ἐκ τοῦ ὀνείρου προμαντευόμενος θαρρεῖν παραινεῖ τὴν Ἠλέκτραν. | ἀνόητος. || 475 εἶσιν ἁ πρόμαντις: ἡ προμαντευομένη τὰ μέλλοντα. ἢ τοῖς συνετοῖς προγινωσκομένη.

μέτεισιν, ὦ τέκνον, οὐ μακροῦ χρόνου.
ὕπεστί μοι θράσος,
ἀδυπνόων κλύουσαν ἀρ-
τίως ὀνειράτων.
οὐ γάρ ποτ' ἀμναστεῖ γ' ὁ φύσας
Ἑλλάνων ἄναξ,
οὐδ' ἁ παλαιὰ χαλκόπηκτος
ἀμφήκης γένυς,
ἅ νιν κατέπεφνεν αἰσχίσταις ἐν αἰκίαις.
ἥξει καὶ πολύπους (ἀντιστρ.)
καὶ πολύχειρ ἁ δεινοῖς
κρυπτομένα λόχοις
χαλκόπους Ἐρινύς.

479 *ὕπεστί μοι* e *ἔπεισι με* superscr. e[1] (*ὑπεσέρχεται* utrique scripturae interposuit e[2]) *ὕπεστί τί μοι* Hartungus *ὤν ἔστι μοι* Wolffius | *θράσος* Ll: *θάρσος* Epeg || 480 *ἡδυπνόων* e *ἀδύπνοον* Erfurdtius | *κλύουσαν* Ll: *κλύουσαν* (η superscr.) e *κλύουσα* pg *κλυούσα* l[1] *κλυούσῃ* vindobonensis || 482—487 interpolatori tribuit Schoellius | *ἀμναστεῖ* lpe: *ἀμνηστεῖ* Lg | *σ' ὁ φύσας* Wakefieldus silv. crit. III p. 93 *ὁ φύσας σ'* Froehlichius || 484 *πλαιὰ* L corr. E | *χαλκόπηκτος* Wakefieldus silv. crit. III p. 94 Erfurdtius Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 424: *χαλκόπληκτος* Llpeg *χαλκόπλακτος* ienensis || 485 *ἀμφάκης* Hesychius? Brunckius || 486 *κατέφνεν* g || 487 *σχίσταις ἐν αἰκίαις* separato versu L | *εἰν* p | *αἰκείαις* Porsonus adv. p. 209 || 488 *πολύπαις* Σ || 489 *ἁ* Epeg: *α* L om. l *ἡ* superscr. Eg[2] || 491 *καμψόπους* Wakefieldus silv. crit. IV p. 8 | *ἐρινύσ* g: *ἐρινῦσ* Ll *ἐριννύσ* E *ἐριννὺς* pe[1] *ἐριννῦς* e

477 *μέτεισιν*: *μέτεισι, φησί, παρέχουσα τούτοις δύναμιν ὡς* ⟨*ὥστε* g⟩ *χειρώσασθαι τοὺς ἐχθρούς.* || 482 *οὐ γάρ ποτ' ἀμνηστεῖ*: *οὐ γὰρ ἀμνημονεῖ* ⟨Suidas⟩, *φησί, τῶν τολμηθέντων καθ' ἑαυτοῦ ὁ βασιλεύς, ἀλλ' ἐπεξελεύσεται κατὰ τῶν ἐχθρῶν.* || 484 *χαλκόπληκτος*: *ἀπὸ κοινοῦ τὸ ἀμνηστεῖ. οὐδ' ἀμνημονεῖ, φησίν, ἡ χαλκόπληκτος γένυς ἡ ἑλοῦσα* ⟨Lg: *ἡ ἀνελοῦσα* v⟩ *αὐτόν, ἀλλὰ καὶ αὐτὴ τιμωρὸς ἥξει κατὰ τῶν δρασάντων.* || 485 * Hesychius *ἀμφαχλῆς* ⟨*ἀμφάκης* Musurus. *γένυς* add. Valckenarius diatr. p. 145⟩· *ἀξίνη.* * | *εἶδος πελέκεως.* || 488 *ἥξει καὶ πολύπους*: *ἡ Ἐρινὺς ἡ ἐκείνῳ τῷ φόνῳ ἀκολουθήσασα. οὕτως ἐν τῷ ὑπομνήματι.* | *ἥξει καὶ πολύπους*: *τὸ πολύπους* ⟨*πολύπαις* Hartungus⟩ *ἐν ὑπερβολῇ ἔθηκεν* ⟨*ἥξει — ἔθηκεν* om. g⟩. | *ἐν δὲ τῷ ὑπομνήματι* ⟨*ἐν τῷ πους* g⟩ *κεῖται πολύπαις* ⟨*πολύπους* Hartungus⟩. | *ἐπεὶ γάρ, φησίν, ἐν τῷ Ὀρέστῃ τὴν πᾶσαν ἐλπίδα ἔχουσι, τὸ πολύπαις ἐν ὑπερβολῇ ἔθηκεν* ⟨*ἐν δὲ — ἔθηκεν* om. v⟩. *ἣ* ⟨add. g: om. Lv⟩ *ἡ πολλὰ κακὰ τίκτουσα.* || 491 *χαλκόπους*: *ἡ στερεὰ καὶ ἀκο-*

ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβα μιαιφόνων
γάμων ἁμιλλήμαθ' οἷσιν οὐ θέμις.
πρὸ τῶνδέ τοί μ' ἔχει
† _ ⏓ ⏑ μήποθ' ἡμὶν ἀ-
ψεγὲς πελᾶν τέρας

493 *μιαιφόνων — ἀμιλ* separato versu L | *ἀμιλ*λήμαθ'* e *ὁμιλήμαθ'* Musgravius MSchmidtius philol. XIV p. 468 || 495 *τῶνδέοι* L *τ* superscr. L² *τῶνδε τοι* p | *τοί* superscr. *ἀργὸν* e | *ἔχει* Llpe: *ἔχει θάρσοσ* gΣ *θάρσοσ* superscr. e² *μένει* Faehsius syll. lect. p. 332 Bergkius *θράσος* Wunderus *δέχου* EHoffmannus ztschr. f. oest. gymn. 1854 p. 535 | *τῶνδ' ἕτοιμ' ἔχει* Schneidewinus *τῶνδ' ἕτοιμ' ἔχε* Lachmannus de chor. system. p. 172. *πρὸς ὧν ἄγη μ' ἔχει* Kolsterus philol. V p. 601 *δοκῶ δέ τοι μ' ἔχει* Nauckius *πρὸ τῶνδ' ἔτ' οἶμ' ἔχει* Buchholzus n. jahrb. f. phil. LXXV p. 223 *τούτων δέος μ' ἔχει* Froehlichius. *πρὸ τῶνδέ μ' ἔχει θράσος* Hartungus *πρὸ τῶνδ' ἔχω θράσος* Kayserus n. jahrb. f. phil. LXIX p. 511. *πρὸ τῶνδέ* (vel *πρῶτον δέ*) *τοί μ' ἔχει θάρσος, ὃ μήποτ', ἦ μὴν* Wolffius *πρὸ τῶνδέ τοι θάρσος εἴσεισί μ'* (vel *ἴσχέ μοι*) *ἢ πόθ' ἡμῖν* Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 424 *ἦ τοί μ' ἔχει θάρσος ἐκ τῶνδε δήποθ' ἡμῖν* Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 13 IHH Schmidtius ant. compositionsl. p. XXVIII || 496 *μήποθ'* Llg: *μήποτε μήποθ'* pe vindobonensis *ἀδύ τι. μήποτ'* Dindorfius | *ἥμιν* L *ἡμῖν* L²lpeg *ὑμῖν* e² Reiskius *ἥκειν* Martinus progr. posnan. 1858 p. 21 *αὖθις* Dindorfius || 497 *ἀψεφὲς* Bergkius (ztschr. f. d. alt.-wiss. 1836 p. 47) Dindorfius (1836) ⟨Hesychius *ἀψεφές· ἀφρόντιστον. Σοφοκλῆς Φαίδρᾳ.* Bekkeri anecd. p. 476 *ἀψεφές· ἀφρόντιστον. Σοφοκλῆς*⟩ *μαψεπὲς* Schneidewinus | *πελᾷ* Froehlichius Hauptius ind. lect. berol. 1865 p. 12 *μέλαν* Martinus | *πέρασ* l corr. l¹ **τέρας* e *γέρας* Meinekius ad Oed. Col. p. 258

πίαστος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων ⟨Suidas⟩. | * Eustathius ad Hom. *I* 454 p. 763 *τὰς Ἐριννῦς... αἳ καὶ χαλκόποδες λέγονται διὰ τὸ ἀκάματον, ἔτι δὲ καὶ βαρὺ τῆς ἐπεμβάσεως.* * || 492 *ἄλεκτρ' ἄνυμφα: ἀντὶ τοῦ οὐ* ⟨v: om. L⟩ *νενομισμένα, ἀλλὰ παράνομα διὰ τὴν μοιχείαν.* | *δύσλεκτρα* ⟨*κακόλεκτρα* g⟩ *καὶ κακόνυμφα* ⟨Suidas⟩. || 493 *μιαιφόνων γάμων: ἤτοι ἐπὶ τῆς Ἐρινύος ἐστὶν ὁ λόγος· ἐπέβη γὰρ ἐπὶ ἁμιλλήματα γάμων ἄλεκτρα καὶ ἀνύμφευτα, ἐπέβη δὲ τούτοις οἷς οὐ θέμις· οὓς οὐκ ἐχρῆν εἰς γάμον ἤγαγεν* ⟨*οὓς ἐχθροὺς εἰς γάμους ἦγεν* g⟩ *ἡ Ἐρινύς, διόπερ καὶ νῦν αὐτοὺς μετελεύσεται. ἢ ἐπὶ τῆς Κλυταιμνήστρας ἐστὶ τὸ λεγόμενον. τὸ δὲ οἷσιν οὐ θέμις ἐπὶ τῶν γάμων· φησὶν οὖν ὅτι ἐπέβη γάμοις ἡ Κλυταιμνήστρα οἷς οὐκ ἔπρεπεν.* || 495 *πρὸ τῶνδέ τοί μ' ἔχει: λείπει τὸ ἐλπίς.* | *ἢ θάρσος* ⟨*θράσος* g⟩ *με ἔχει, μὴ πρὸ τούτων τῶν προειρημένων, Αἴγισθον* ⟨v: *Αἴγισθος* Lg⟩ *φησὶ καὶ Κλυταιμνήστραν* ⟨v: *Κλυταιμνήστρα* Lg⟩, *τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάζειν· ἀλλ' ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτῶν* ⟨gv: *αὐτὸν* L⟩, *λεγόντων ὅτι κακῶν ἦν σημαντικόν.* | *ἄλλως. θαρρῶ ὅτι* ⟨*ἐν* add. v⟩ *τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος· παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν.* | *ἔχει θάρσος: τό τοι σύνδεσμος παραπληρωματικός.* || 497 *τὸ τοῦ ὀνείρου τέρας.*

τοῖς δρῶσι καὶ συνδρῶσιν. ἤ τοι
μαντεῖαι βροτῶν
οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις
οὐδ' ἐν θεσφάτοις,
εἰ μὴ τόδε φάσμα νυκτὸς εὖ κατασχήσει.
ὦ Πέλοπος ἁ πρόσθεν (*ἐπῳδός*)
πολύπονος ἱππεία,
ὡς ἔμολες αἰανὴς
τᾷδε γᾷ.
εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη,
παγχρυσέων δίφρων
δύστανος αἰκίαις

498—515 interpolatori tribuit Schoellius | *ἤ* L(*˝* rescripsit B)lpeg: *ἦ* l^1 Meinekius || 503 *εὖ κατασχήσει* separato versu L | *καταντήσει* Nauckius *καταστρέψει* Madvigius adv. crit. I p. 218 || 505 *πολύποινος* Valckenarius || 506 *αἰανὴσ* L(eraso *σ*, rescripto a B accentu) l^1 Blomfieldus ad Aesch. Pers. 935: *αἰανὴ* Σlpeg *αἰανῆ* Σg^1 *αἰανῆς* Suidas || 508 *ὁ* del. Morstadtius p. 19 | *ποντιθεὶσ* g || 509 *μυρτῖλοσ* L corr. B | *ἐκοιμάσθη* eraso *σ* e *ἐκοιμάθοι* g || 510 *παγχρυσέων* Hermannus: *παγχρύσων* Llpeg *παγχρύσων ἐκ* Dindorfius || 511 *δύστανος* Nauckius: *δυστάνοισ* Llpeg | *δύστανος ἐκριφθείς, οὔ τί πω πρόρριζος ἔλιπεν* Morstadtius *δύστανος ἐκριφθείς, πρόρριζον αἰκίζουσ'* Schenkelius ztschr. f. oest. gymn. 1869 p. 538

498 *τοῖς δρῶσι καὶ συνδρῶσιν*: *ὑμῖν ταῖς δρώσαις ὑπὲρ Ἀγαμέμνονος καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις.* || 500 *τοῖς ἐκφοβοῦσιν τοὺς ὁρῶντας, ὅταν ὦσι δεινοί.* || 501 *τοῖς τῶν ὀνείρων.* || 503 *οὐ τοῖς ἑωρακόσιν, ἀλλὰ τῇ Ἠλέκτρᾳ.* || 504 *ὦ Πέλοπος*: **Φερεκύδης** *φησί· Πέλοψ νικήσας τὸν ἀγῶνα καὶ λαβὼν τὴν* ⟨*λαβὼν τὴν* om. g⟩ *Ἱπποδάμειαν ὑπέστρεφεν* ⟨*ὑπέστρεφον* g⟩ *ἐπὶ τὴν Πελοπόννησον μετὰ τῶν ὑποπτέρων* ⟨*πτερύγων* g⟩ *ἵππων καὶ τοῦ Μυρτίλου* ⟨g: *τὸν Μυρτίλον* L *Μυρτίλου* v⟩· *καθ' ὁδὸν δὲ καταλαβὼν αὐτὸν προιόντα πρὸς τὸ φιλῆσαι αὐτὴν ἔρριψεν εἰς θάλασσαν.* | *οἷον ἦν καὶ πρῶτον* ⟨v: *τὸ πρῶτον* L⟩ '*πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε*' ⟨10⟩. || 505 *πολύπονος ἱππεία*: *πολύπονος γενομένη πᾶσιν Ἀργείοις. καὶ ἑρμηνεύει αὐτό, λέγων* '*ὡς ἔμολες αἰανὴ* ⟨v: *αἰανῆ* L *αἰανὴ — γᾷ* om. g⟩ *τᾷδε γᾷ*'. | *αἰανὴ* ⟨v: *αἰανῆ* L⟩ *δὲ θρηνητική* ⟨v: *θρηνητικῆ* L⟩, *παρὰ τὸ αἴ αἶ ἐξ οὗ γίνεται.* ⟨*αἰανῆς θρηνητικῆς, παρὰ τὸ αἰάζω* ⟨*τὸ θρηνῶ* add. Suidas⟩. g cum Suida *αἰανὴς κύκλος*⟩ || 508 *εὖτε γὰρ ὁ ποντισθείς*: *ὁ νοῦς τοιοῦτός ἐστιν· ἀφ' οὗ ὁ Μυρτίλος* ⟨*ἐκ τῶν παγχρύσων δίφρων πεσὼν* add. g⟩ *ἀπέθανεν, οὐ διέλιπεν* ⟨*διέλειπεν* v⟩ *αἰκία τοὺς πολυκτήμονας* ⟨*πολυκτύμους* g *πολυκτήτους* v⟩ *δόμους. ὁ γὰρ Ἑρμῆς,* ⟨*ὁ* add. v⟩ *πατὴρ Μυρτίλου, ἐμήνισε τοῖς Πελοπίδαις.* || 511 *αἰκισμοῖς, ὕβρεσιν.*

πρόρριζος ἐκριφθείς,
οὔ τί πω
ἔλειπεν ἐκ τοῦδ' οἴκους
πολύπονος αἰκία.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ

ἀνειμένη μὲν ὡς ἔοικας αὖ στρέφῃ.
οὐ γὰρ πάρεστ' Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεὶ
μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους·
νῦν δ' ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπῃ
ἐμοῦ γε· καίτοι πολλὰ πρὸς πολλούς με δὴ
ἐξεῖπας ὡς θρασεῖα καὶ πέρα δίκης
ἄρχω, καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω, κακῶς δέ σε
λέγω κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γάρ, οὐδὲν ἄλλο, σοὶ πρόσχημ' ἀεὶ
ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ· καλῶς
ἔξοιδα· τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι.

512 *πρόρριζ'* Hartungus | *ἐκριφθεῖσ* Epe(eraso *θ*)g: *ἐκριφεῖσ* L vindobonensis Suidas (*πρόρριζον*) *ἐκῥιφεῖσ* l · *ἐκτριφθείς* Reiskius Porsonus adv. p. 209 || 513 *τί* Hermannus: *τισ* Llpeg || 514 *ἔλιπεν* g*Σ*? *ἔλιπ'* Bothius | *τοῦδε Οἴκους* Westphalus apud Wolffium | *οἴκουσ* L(eraso *σ*)*Σ*: *οἴκου* lpge(e^1 aut e^2 delevit quod additura erat *σ*) *οἶκον* Dobraeus adv. II p. 50 Schenkelius | *ἔλειπε τούσδ' οἴκους* Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 13 || 515 *πολυπήμονας* Bothius *πολυπάμονας* Bergkius (*πολυκτήμονας* interpr. *Σ*) *πολύστονος* Schenkelius | *αἰτία* Morstadtius || 516 *ἔοικε*^{ν} vindobonensis | *στέφῃ* pe: *στρέφῃ* g *τρέφῃι* Ll Eustathius ad Hom. *B* 236 p. 168 *ἐκτρέφῃ* Suidae cod. A *στρέφει* vulgo || 517 *σ'* om. L add. L². *ὅς σ'* om. e | *ἐπεῖχεν ἂν* Nauckius || 518 *θυραῖον* Blomfieldus gloss. Aesch. Agam. 1022 | *γ'* om. g | *φίλα* e, *ους* add. e^1 || 519 *ἐντρέπῃ* Lpeg: *τρέπῃ* l *ἐντρέπει* vulgo || 521 *τραχεῖα* Morstadtius p. 20 | *πέραι* Ll || 522 prius *καὶ* om. e || 524 *κακὰ* e | *θαμᾶ* g || 525 *ἄλλό τοι* L *ἄλλό σοι* Eleg || 527 suspectus Nauckio

512 *ἀντὶ τοῦ παντάπασιν* ⟨Suidas *πρόρριζον*⟩. || 516 *ἀνειμένη μέν*: *ἄνεσιν ἔχουσα· πανταχόθεν* ⟨Suidas⟩ *δὲ* ⟨om. g⟩ *διαφόροις ἐξαλλαγαῖς τὸν ἔλεον Ἠλέκτρας διαγράφει ὁ ποιητής* ⟨*κατὰ σχῆμα* ⟨Iahnius: *στημ*^{α} g⟩ *πρέπον* add. g⟩. || 518 *ἀντὶ τοῦ καθ' ἡμῶν λέγειν.* || 525 * Svidas *πρόσχημα· παρακάλυμμα τοῦ ἤθους, ἡ πρόφασις.* '*πατὴρ — τέθνηκεν*'. * || 526 *ἐξ ἐμοῦ· καλῶς*: *ἴδιον ῥητορικῆς τέχνης* ⟨v: *τόλμης* L om. g⟩ *τὸ μὴ ἀρνεῖσθαι μέν, πιθανὴν δὲ τῶν δεδραμένων ἐπεισφέρειν αἰτίαν. οὐχ ὡς δίκαια δὲ πραττούσης συνηγορεῖ ὁ ποιητής, ἀλλ' ἵνα μὴ ἀργὸν εἴη τὸ πρόσωπον.*

ἡ γὰρ Δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη,
ᾗ χρῆν σ' ἀρήγειν, εἰ φρονοῦσ' ἐτύγχανες·
ἐπεὶ πατὴρ σὸς οὗτος, ὃν θρηνεῖς ἀεί,
τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
θῦσαι θεοῖσιν, οὐκ ἴσον καμὼν ἐμοὶ
λύπης, ὅτ' ἔσπειρ', ὥσπερ ἡ τίκτουσ' ἐγώ.
εἶεν, δίδαξον δή με· τοῦ χάριν τίνος
ἔθυσεν αὐτήν; πότερον Ἀργείων ἐρεῖς;
ἀλλ' οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν.
ἀλλ' ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω κτανὼν
τἄμ' οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,
οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνῄσκειν, πατρὸς

528 ἀλλ' ἡ Δίκη deleto v. 527 Schenkelius ztschr. f. oest. gymn. 1869 p. 538 | δίκηνιν L corr. L^2 | εἷλεν οὐκ pe: ἕιλεν κοὐκ L εἷλε κοὐκ L^2lg || 529 χρὴν g || 530 σὸς οὗτος Erfurdtius: οὗτος σός Llpeg | post 530 Morstadtius p. 20 versum excidisse putat cuius initium fuerit τὴν αὐτὸς αὑτοῦ παῖδα || 531 τὴν αὐτὸς αὑτοῦ Nauckius || 532 ἶσον lg | καμών ποτε vel καμὼν τότε Wunderus || 533 del. Kolsterus philol. V p. 223 Morstadtius || 534—551 interpolatori tribuit Schoellius | δή L^2pe: δέ Llg | post με plenius distinxit Lehrsius de Arist. stud. ed. 2 p. 393 | τίνος L^2l^1p: τίνο* e τίνων Ll πατὴρ Turnerius | πρὸς χάριν τίνων Reiskius τοῦ τίνων χάριν Schenkelius ztschr. f. oest. gymn. 1869 p. 537 τοῦτο· τοῦ χάριν Schmalfeldus progr. eisleb. 1868 p. 22 || 536 suspectus Morstadtio | μετῆν γ' αὐτοῖσιν τήν γ' g | ἐμὸν L corr. L^2 || 537 Μενέλεω τέκνων Nauckius, Μενέλεω φίλου Schenkelius, uterque deleto v. 538 || 538 τὰμ l τάμ' g | τἄμ'; οὐδ' Morstadtius | ἔμελλεν Ll || 539 διπλοὶ eg || 540 θνήσκειν Llpeg | πάρος deleto v. 541 Nauckius (mél. gréco-rom. III p. 99)

534 ⟨ἤγουν τίνος χάριν ἀποδιδοὺς ἐθυσίασεν; τοῦτο δηλοῖ τὸ τίνων, ἤγουν ἀποδιδούς· ἔστι δὲ μετοχὴ καὶ οὐ γενικὴ πληθυντική. cod. barocc.⟩ || 539 πότερον ἐκείνῳ παῖδες: ἐπιλαμβάνονταί ⟨h: λαμβάνονταί Lgv⟩ τινες τοῦ ποιητοῦ ἐκ τῶν Ὁμηρικῶν· ἐπεὶ ἐκεῖνος μίαν γεγονέναι τῷ Μενελάῳ τὴν Ἑρμιόνην φησίν ⟨δ 13⟩, οὗτος δὲ διπλοῦς ὁμομητρίους φησὶν αὐτῷ γεγονέναι. ὅμως οὖν ⟨Wolffius de schol. laur. p. 20: οὐ Lgv οὕτω Elmsleius⟩ συμφωνεῖ αὐτῷ Ἡσίοδος 'ἣ τέκεθ' Ἑρμιόνην δουρικλειτῷ ⟨δουρικλυτῷ Lgv⟩ Μενελάῳ· ὁπλότατον δ' ἔτεκεν Νικόστρατον, ὄζον Ἄρηος'. οὐ περὶ μεγάλων δὲ αἱ τοιαῦται διαφωνίαι τοῖς ποιήμασιν ⟨ποιηταῖς g⟩, ὥστε οὐ πάνυ δεῖ αὐτοῖς ἐπὶ τῶν τοιούτων ἐνοχλεῖν, ἀφεμένους τῶν ἀναγκαιοτέρων ἅπερ παρατηρεῖν ἐχρῆν· ταῦτα δέ ἐστι τὰ ἠθικὰ καὶ χρήσιμα ἡμῖν τοῖς ἐντυγχάνουσιν. ὅρα οὖν πῶς ἐκείνῳ τῷ μέρει τῆς ἱστορίας κατεχρήσατο, ὅτι συνέφερεν τῷ λόγῳ τῆς Κλυταιμνήστρας. | Ἑρμιόνη καὶ Νικόστρατος. || 540 ἀντὶ τοῦ τῆς Ἰφιγενείας.

καὶ μητρὸς ὄντας ἧς ὁ πλοῦς ὅδ' ἦν χάριν;
ἢ τῶν ἐμῶν Ἅιδης τιν' ἵμερον τέκνων
ἢ τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο, Μενέλεω δ' ἐνῆν;
οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
δοκῶ μέν, εἰ καὶ σῆς δίχα γνώμης λέγω·
φαίη δ' ἂν ἡ θανοῦσά γ', εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύσθυμος· εἰ δὲ σοὶ δοκῶ φρονεῖν κακῶς,
γνώμην δικαίαν σχοῦσα τοὺς πέλας ψέγε.
ΗΛ. ἐρεῖς μὲν οὐχὶ νῦν γέ μ' ὡς ἄρξασά τι
λυπηρὸν εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο·
ἀλλ' ἢν ἐφῇς μοι, τοῦ τεθνηκότος γ' ὕπερ
λέξαιμ' ἂν ὀρθῶς τῆς κασιγνήτης θ' ὁμοῦ.
ΚΛ. καὶ μὴν ἐφίημ'· εἰ δέ μ' ὧδ' ἀεὶ λόγους
ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.

542 ἢ Brunckius | ἅδης e | τίν' Lleg || 543 πλέον L^{c}peg: πλέων L πλέω l || 544 πανόλει e, corr. e^2 | τῶν* L || 546 ἀνόλβου Herwerdenus exerc. crit. p. 113 || 548 φαίην p | τ' ἂν Morstadtius p. 9 || 549 πεπραγμένοις ****** L || 550 δύσθ*κος e, corr. e^1 | δέ σοι g | post κακῶς distinxit Schneidewinus || 551 δικαία φῦσα Lugebilus | σχοῦσα, τοὺς vulgo | τοῖς πέλας λέγω (λ et ω in litura) vindobonensis || 552 γ' ἔμ' g || 554 'ῆν L corr. L^c | super ἐφησ in L litura in qua quid scriptum fuerit dici nequit ἐφῇσ L^{c}l^{1}pg ἐφησὶ l | γ' ὕπερ pe: ὕπερ Llg θ' ὕπερ Triclinius πέρι Nauckius | τῆς κασιγνήτης ὕπερ λέξαιμ' ἂν ὀρθῶς τοῦ τεθνηκότος θ' ὁμοῦ Nauckius || 555 ὁμοῦ g δ' add. g^1 θ' ὕπερ e (ἤγουν ὁμοῦ καὶ ὑπὲρ τῆς ἀδελφῆς schol. e) || 556 μὴν g δὴ superscr. g^1 | μοι ὧδ' Hartungus | λόγους L: λόγοις L^{c}lpeg || 557 ἐ*ξῆρχες e

542 *ἢ τῶν ἐμῶν Ἅιδης*: τὸ ἑξῆς· ἢ τῶν ἐμῶν τέκνων δαίσασθαι πλέον ἵμερόν τινα Ἅιδης ἔσχεν ἢ τῶν ἐκείνης; || 544 ⟨μαινόλης καὶ σκωπτόλης μικρά, ὅτι καὶ εἰς ου ἔχουσι τὴν γενικήν· *πανώλης* δὲ καὶ προώλης ⟨πιώλης v⟩ καὶ ἐξώλης μεγάλα, διότι καὶ εἰς ους ἔχουσι τὴν γενικήν. add. v⟩ || 545 ἠμελεῖτο, παρῃρεῖτο. || 550 κακόβουλος ⟨Suidas δύσθυμος⟩. || 551 *γνώμην δικαίαν*: οἷον λογισμῷ χρησαμένη δικαίῳ, τῷ τε τοὺς ⟨Lv: τῷ μὴ g⟩ πέλας ψέγειν ἡμᾶς μὴ τὸ πᾶν ὀργῇ καταχαριζομένη. | τινὲς *τοὺς πέλας* τοὺς περὶ Ἀγαμέμνονα. || 552 *ἐρεῖς μὲν οὐχὶ νῦν*: οὐκ ἂν εἴποις νῦν ὅτι ⟨gh: om. Lv⟩ λυπήσασά με τοιαῦτα ἀντακήκοας· ἐμοῦ γὰρ εἰπούσης οὐδὲν σὺ προκατήρξω τῆς εἰς ἐμὲ λοιδορίας. || 556 *εἰ δέ μ' ὧδ' ἀεὶ λόγοις*: εἰ πρὸ τῶν λόγων ἐπυνθάνου εἰ τὸ λέγειν σοι ἐφίημι, οὐκ ἂν ἦς λυπηρά.

ΗΛ. καὶ δὴ λέγω σοι. πατέρα φῂς κτεῖναι. τίς ἂν
τούτου λόγος γένοιτ' ἂν αἰσχίων ἔτι,
εἴτ' οὖν δικαίως εἴτε μή; δείξω δέ σοι
ὡς οὐ δίκῃ γ' ἔκτεινας, ἀλλά σ' ἔσπασεν
πειθὼ κακοῦ πρὸς ἀνδρός, ᾧ τανῦν ξύνει.
ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν, τίνος
ποινὰς τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι.
ἢ 'γὼ φράσω· κείνης γὰρ οὐ θέμις μαθεῖν.
πατήρ ποθ' οὑμός, ὡς ἐγὼ κλύω, θεᾶς
παίζων κατ' ἄλσος ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην ἔλαφον, οὗ κατὰ σφαγὰς
ἐκκομπάσας ἔπος τι τυγχάνει βαλών.
κἀκ τοῦδε μηνίσασα Λητῴα κόρη
κατεῖχ' Ἀχαιούς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸς ἐκθύσειε τὴν αὑτοῦ κόρην.

558—565 interpolatori tribuit Schoellius | *φὴς* Nauckius || 559 *ἔτι* Elpe¹g: *εστ**** L *ἔτ** e || 560 *δείξω* Morstadtius p. 21 Wecklinus art. p. 44: *λέξω* Llpeg || 561 *οὖν* erasis accentu et *ν* L | *ἔσπασε* eg || 562 *πιθὼ* L | *τανὺν* p || 563 *αἰροῦ* e (schol. *ἐρώτησον*) *ἐρῶ* Heimreichius progr. flensburg. 1865 p. 13 || 564 *ποινὰς* Ll: *ποινᾶσ* superscr. *η* g *ποινῆς* EpeΣ? | *τὰ πόμπιμα πνεύματ'* Iacobsius spec. emend. p. 27 | *ἐπ'* Wolffius | *δυ*ιωι* L corr. E || 565 del. Iahnius. *ἢ ἐγὼ φράσω· πατήρ ποθ' οὑμός, ὡς ἐγὼ κλύω, κατ' ἄλσος ἐξεκίνησεν θεᾶς* Nauckius | *ἠγὼ* L corr. E *ἢ 'γὼ* l || 566 *πατὴρ γὰρ οὑμός, ὡς ἐγὼ κλύω, ποτὲ παίζων κατ' ἄλσος ἐξεκίνησεν θεᾶς* eiecto v. 565 Schenkelius ztschr. f. oest. gymn. 1869 p. 539 || 567 *πλίσσων* Bergkius ztschr. f. alt.-wiss. 1835 p. 961 *περῶν* Dindorfius ibid. 1836 p. 12 *πλανῶν* Hartungus *αἰζῶν* Bergkius | *ἄλλος* l corr. l¹ | *ἐξεκίνησε* e *ἐξενίκησεν* Suidae codices deteriores Madvigius advers. crit. I p. 218 | *λόχων* vel *λοχμῶν* Morstadtius p. 22 || 568 *κεράτην* g | *κατὰ σφαγᾶς* e *κατασφαγὰς* g Hermannus || 569 *κομπάσας* e *ἐκκοπάσας* g | *τι* om. pg *τί* l | *τυγχάναι* g corr. g¹ || 571 *ἕως* Wecklinus art. p. 17 | *ἀντίρροπον* Heimreichius progr. flensburg. 1865 p. 14 || 572 *αὑτοῦ* ς: *αὐτοῦ* Llpeg

558 *πατέρα φὴς κτεῖναι*: ὡς ῥήτωρ διεῖλεν εἰς κεφάλαια τὸν λόγον. καὶ πρῶτον κεφάλαιον, ὅτι οὐδὲν χαλεπώτερον τούτου, εἴ γε δικαίως· δεύτερον, ὅτι οὐ δικαίως ἀλλὰ πεισθεῖσα Αἰγίσθῳ. δείκνυσι δὲ ὅτι ἀκουσίως ὁ Ἀγαμέμνων ἔθυσεν τὴν Ἰφιγένειαν ἐν τῇ Αὐλίδι. || 560 ⟨*εἴτ' οὖν δικαίως*: εἴτε δικαίως αὐτὸν ἔκτεινας εἴτε ἀδίκως. add. v⟩ || 561 *ὡς οὐ δίκῃ γ' ἔκτεινας*: ἐναντίον τῷ 'ἡ ⟨g: τὸ εἰ Lv⟩ γὰρ Δίκη νιν εἷλε' ⟨528⟩ τὸ 'ὡς οὐ δίκῃ γ' ἔκτεινας'. | παρήγαγε, παρέπεισεν. | *ἀλλά σ' ἔσπασεν πιθώ*: αὕτη γὰρ ἀπόδειξις οὐ ⟨τοῦ μὴ g⟩ διὰ τὴν θυγατέρα ἀλλὰ διὰ τὸν μοιχὸν πεφονεῦσθαι τὸν Ἀγαμέμνονα, τὸ καὶ μέχρι τοῦ νῦν αὐτῷ συνεῖναι καὶ συνοικεῖν. || 563 λείπει ἡ διά. || 567 ἐξεδίωξεν ⟨Suidas ἐξεκίνησέν⟩.

ὧδ' ἦν τὰ κείνης θύματ'· οὐ γὰρ ἦν λύσις
ἄλλη στρατῷ πρὸς οἶκον οὐδ' εἰς Ἴλιον.
ἀνθ' ὧν βιασθεὶς πολλὰ κἀντιβὰς μόλις
ἔθυσεν αὐτήν, οὐχὶ Μενέλεω χάριν.
εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σόν, κεῖνον θέλων
ἐπωφελῆσαι ταῦτ' ἔδρα, τούτου θανεῖν
χρῆν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
ὅρα τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.
εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη θάνοις ἄν, εἰ δίκης γε τυγχάνοις.
ἀλλ' εἰσόρα μὴ σκῆψιν οὐκ οὖσαν τίθῃς.
εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου τανῦν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' οὗ
πατέρα τὸν ἁμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς, τοὺς δὲ πρόσθεν εὐσεβεῖς

573 τὰ κείνησ le: τἀκείνησ Lpg τ'ἀκείνησ L² | θύματ superscr. α e | ἦν λύσισ l ἦν λῦσισ g ἤλυσις Wunderus emend. in Soph. Trach. p. 141 || 574 οἶκον ἦν οὐδ' Ἴλιον Wunderus | ἐς Nauckius (eurip. stud. II p. 59) || 575 λιασθεὶς Nauckius || 576—578 ex parte interpolatos putat Schoellius || 578 ἔδρ* L corr L² || 579 ὅυνεκ' g εἵνεκ' Nauckius || 580—586 interpolatori tribuit Schoellius | Aelianus apud Suidam ὁμοῦ: ὁ δὲ Σύφαξ ὁμοῦ τι τῷ θανάτῳ ὧν ἀνεφθέγξατο τὰ ἐκ τῆς τραγῳδίας ἰαμβεῖα, ὡς δεδιττόμενος τὸν Μακεδόνα 'ὅρα — τιθῇς'. οὐ μὴν ἔσπασέ τι ἡ μήρινθος αὐτῷ. | ὅραι L ὅρᾳ l || 581 σαυτῇ p | μετάνοιαν e, γ add. e² | τιθῇς parisinus 2820 (D) Suidas: τίθῃισ L τίθῃσ lpeg || 582 κτενοῦμεν l, α priori ε superscr. l¹ || 583 τυγχάνοις ς: τυγχάνειϲ Llpeg. εὖ τυγχάνεις vindobonensis || 584—586 om. L, in marg. add. L² | τίθησ Le vindobonensis Suidas: τίθεις p τιθῇς lg || 585 θέμις Meinekius ad Soph. Oed. Col. p. 260 σθένεις FGSchmidtius anal. soph. p. 36 | τἀνῦν lpe || 588 del. Wunderus emend. in Soph. Trach. p. 16 | πρισθέντα πατέρα τὸν ἐμὸν Burgesius ad Eur. Troad. p. XVI | ἁμὸν L²pe: ἐμὸν Llg ἁμὸν e² | πρὸς μὲν Wakefieldus silv. crit. II p. 54 || 589 παιδοποιεῖς suspectum habet Nauckius | πρόσθεν ὄντας εὐσεβεῖς e, ὄντας del. e² | εὐγενεῖς κἀξ εὐγενῶν Nauckius Mollweidius symb. soph. p. 17

575 πολλὰ κἀντιβάς: ἀνταπαραταττόμενος καὶ μὴ βουλόμενος· διὰ δὲ τῆς λέξεως δηλοῖ τὸ ἀκούσιον τῆς προαιρέσεως. || 577 εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σόν: πιθανῶς κατασκευάζει ὅτι εἰ νομοθετεῖς ἄλλον ἀντ' ἄλλου ἀναιρεῖσθαι, κατὰ σαυτῆς νομοθετεῖς. || 583 ἀντὶ τοῦ Ἀγαμέμνονος. || 584 ἀλλ' εἰσόρα: ὅρα, φησί, μὴ παρακάλυμμα τῶν σαυτῆς ἀδικημάτων ταύτην κομίζῃ ⟨κομίζεις g⟩ τὴν πρόφασιν. | * Svidas σκῆψις· παρακάλυμμα, πρόφασις ... Σοφοκλῆς 'ἀλλ' — τίθης'. *

κἀξ εὐσεβῶν βλαστόντας ἐκβαλοῦσ' ἔχεις.
πῶς ταῦτ' ἐπαινέσαιμ' ἄν; ἢ καὶ ταῦτ' ἐρεῖς
ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
αἰσχρῶς δ', ἐάν περ καὶ λέγῃς· οὐ γὰρ καλὸν
ἐχθροῖς γαμεῖσθαι τῆς θυγατρὸς οὕνεκα.
ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
ἣ πᾶσαν ἵης γλῶσσαν ὡς τὴν μητέρα
κακοστομοῦμεν. καί σ' ἔγωγε δεσπότιν
ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω,
ἣ ζῶ βίον μοχθηρόν, ἔκ τε σοῦ κακοῖς
πολλοῖς ἀεὶ ξυνοῦσα τοῦ τε συννόμου.
ὃ δ' ἄλλος ἔξω, χεῖρα σὴν μόλις φυγών,
τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον·
ὃν πολλὰ δή μέ σοι τρέφειν μιάστορα
ἐπῃτιάσω· καὶ τόδ', εἴπερ ἔσθενον,
ἔδρων ἄν, εὖ τοῦτ' ἴσθι. τοῦδέ γ' οὕνεκα
κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρὴ κακὴν
εἴτε στόμαργον εἴτ' ἀναιδείας πλέαν.

590 *κἀξ* L (*κ* a Ꝉ) | *βλαστόντας* pe: *βλαστῶντας* Lle²g | *ἐκβαλλοῦσ'* e ‖ 591—594 del. Schoellius | *γρ. επαινεσωμεν* Ꝉ | *ἢ* Brunckius | *ταῦτ'* Dobraeus adv. II p. 50: *τοῦτ'* Llpeg ‖ 592 *λαμβάνεις* pe: *λαμβάνει* in litura septem fere litterarum Ꝉ aut Ꝉ *τυγχάνει* lg ‖ 593 *δ'* om. g *γ'* Hartungus | *λέγῃισ* Ꝉlpe²: *λέγεις* Leg | *ποῦ* Dobraeus adv. II p. 50 ‖ 594 *ἕνεκα* p corr. p¹ ‖ 595 *ἀλλ' οὐδὲ γὰρ νουθετεῖν* g | *οὐδὲ** e | *σε* Ꝉpg: *σοι* Lle ‖ 596 *ἢ — νέμω;* Schenkelius ztschr. f. oest. gymn. 1869 p. 539 | *ἵης* ς: *ἵεις* Llpeg ‖ 597 *κακορροθοῦμεν* Nauckius. *κακοστομοῦμεν, καὶ — νέμω.* Morstadtius p. 23 | *ἀλλ' ἐγώ σε* Kayserus n. jahrb. f. philol. LXIX p. 508 | *δεσπότην* g corr. g¹ ‖ 600 *ξυνόμου* e ‖ 601 *ὃ* Hermannus: *ὁ* Llpeg | *ἄλλοσ'* Neuius *ἀμὸς* Wexius progr. suerin. 1837 p. 10 Meinekius ad Oed. Col. p. 260 *αὖ τότ'* Martinus progr. posnan. 1858 p. 28 *ἄλλοθι ζῶν* Heimsoethius krit. stud. I p. 310 *ἀλλαχοῦ γῆς* Nauckius. *ἄλαισι δ' ἔξω* Steinhartus progr. portens. saec. 1843 p. 7 ‖ 603 *με σοὶ* lpeg ‖ 605 *ἕνεκα* p corr. p¹ *εἵνεκα* Nauckius ‖ 606 *χρῇς* Wunderus emend. in Soph. Trach. p. 16 Bergkius ind. lect. marburg. 1848 p. V | *λάλον* Morstadtius p. 23 ‖ 607 *στόμαλγον* Hartungus | *πλέων* g

595 *ἐπεὶ πάνυ αὐτὴν διήλεγξεν ἐπὶ τῇ μοιχείᾳ, ὥσπερ ἐπιλαμβανομένη αὐτῆς κἀκείνην ἐκμειλισσομένη φησὶν ὅτι οὐδὲ νουθετεῖν σε δεῖ· χαλεπαίνεις* ⟨v: *χαλεπαίνοις* Lg⟩ *γὰρ ὡς λοιδορουμένη. τὸν ἔλεγχον οὖν νουθεσίαν ὠνόμασεν.* ‖ 599 ⟨*μοχθηρόν: κακόν, ἐπίπονον.* add. v²⟩ ⟨*κακόν, μοχθηρόν, ἐπίμωμον.* add. g⟩ ‖ 604 ⟨*πρότερον μὲν πρὸς τὸν χορὸν εἶπε περὶ τῆς καθόδου Ὀρέστου, νῦν δὲ πρὸς τὸ ἀνελεῖν τὴν ὑποψίαν φησὶν 'ἔπρασσον ἄν'.* add. ghv⟩ ‖ 607 *φλίαρον* ⟨Suidas *στόμαργος*⟩. | ⟨*εἰ γὰρ εἰμὶ τοιαύτη οἵαν με φῄς, σὸν εἰμὶ τέκνον καὶ τῶν σῶν ἠθῶν μέτεστί μοι. οἷοι γὰρ εἰσὶν*

εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.
ΧΟ. ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ
ξύνεστι, τοῦδε φροντίδ' οὐκέτ' εἰσορῶ.
ΚΛ. ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος,
ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισεν,
καὶ ταῦτα τηλικοῦτος; ἆρά σοι δοκεῖ
χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ;
ΗΛ. εὖ νῦν ἐπίστω τῶνδέ μ' αἰσχύνην ἔχειν,
κεἰ μὴ δοκῶ σοι· μανθάνω δ' ὁθούνεκα
ἔξωρα πράσσω κοὐκ ἐμοὶ προσεικότα.

608. 609 del. Schoellius | κακῶν Σ? vindobonensis palatinus Eustathius λόγων Suidas (ἴδριας) || 609 καταισχύνω e καταισχυνῶ e^{2} || 610 μὲν p μένος p^{1} || 611 τούτου γε φροντίδ' οὐκέτ' εἰσορῶ τινι Heimreichius progr. flensburg. 1865 p. 14 || 612 τε g γε corr. g^{3} | τῆσδε g || 613 ὕβρισε e || 614 τηλικοῦτοσ Elpe: τηλικούτωσ Lg τηλικούτη l^{1} | ἀρά Ll: ἄρ' οὐ Lpeg || 615 ἐς Dindorfius | αἰσχύνησ ἔχειν g ἄτερ adscr. g^{2} || 616 om. g, add. g^{1}, spurium putat Schoellius | νυν Dindorfius || 617 ὅτ' οὕνεκα g || 618 προσεικότα e: προσηκότα Llg Suidas (ἔξωρα) προσήκοντα p

οἱ γονεῖς, τοιαῦτα καὶ τὰ τέκνα. add. v⟩ | εἴτε στόμαργον: εἰ γέγονα τούτοις τοῖς κακοῖς ἔνοχος, στόμαργος καὶ ἀναιδής, ὡς φής, οὐ καταισχύνω σου τὴν φύσιν, ἐλάττων σου οὖσα· ἀλλ' ὁμοία σου ⟨Lg: σοι h om. v⟩ φανήσομαι. | ζηλῶ σε, φησίν· ὥσπερ γὰρ σὺ κατὰ Ἀγαμέμνονος Αἴγισθον ἔθρεψας, οὕτως κατὰ σοῦ τὸν Ὀρέστην ἐγώ. || 609 * Eustathius ad Hom. ω 506 p. 1969 καταισχύνει τις γένος, ὅτε κατ' ἀρετὴν ἀνόμοιος τοῖς προγόνοις ἐκβαίνει. ἐντεῦθεν τὸ τραγικὸν ἐρρέθη ἀντιστρόφως κατά τι σκῶμμα τὸ 'εἰ — φύσιν'. ὡς γὰρ παῖς ἐκβὰς ἀγαθὸς οὐ καταισχύνει ἀγαθοὺς γονεῖς, οὕτως οὐδὲ τοὺς φαύλους παῖς κακῶν ἴδρις κατ' ἐκείνους γενόμενος. * || 610 ὁρῶ μένος πνέουσαν: ὁ χορὸς τεθαυμακὼς ἐπὶ τοῖς λόγοις φησίν· ὁρῶ μένος πνέουσαν τὴν παῖδα· εἰ δὲ σὺν δίκῃ αὐτῇ τοῦτο τὸ μένος σύνεστιν, τούτου [τοῦ μένους] ⟨Lv: del. Iahnius τοῦ μέρους g⟩ φροντίδα οὐκέτι ὁρῶ γινομένην ὑπό τινος. εὐσχημόνως δὲ ἐς τὴν Κλυταιμνήστραν τὸν λόγον ἀποτείνουσιν· ἀντιλαμβανομένη ⟨ed. rom.: ἀντιλαμβανομένης Lv ἀντιλαμβανόμενος g⟩ οὖν ἐκείνη ⟨g: ἐκείνης Lv⟩ τοῦ λόγου φησίν 'ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος;' || 611 ⟨ἢ ἐν τῇ Κλυταιμνήστρᾳ ἢ ἐν τῇ Ἠλέκτρᾳ. οὐ γὰρ φροντίζει αὕτη καὶ ἐὰν τὰ δίκαια φῇ ἡ Ἠλέκτρα ὅπως περιποιήσῃ καὶ ἐπακούσῃ αὐτήν. add. g⟩ | ἀντὶ τοῦ οὐκ ἐννοῶ. || 614 καὶ ταῦτα τηλικοῦτος: ὑπὲρ ἐπιτάσεως· ὅτι εἰ καὶ δοίη τις ἐξουσίαν ἀντιλέγειν τοῖς γονεῦσιν, ἀλλ' οὐ ταῦτα ⟨gv: ταύτῃ L⟩ παρθένῳ οὔσῃ ἔπρεπε τηλικαύτῃ. || 615 ἀντὶ τοῦ ἀναισχύντως. || 618 κἀγώ, φησίν, αἰσθάνομαι ἐπονείδιστα πράσσουσα καὶ οὐ κατὰ τὴν ἐμὴν ὥραν.

ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια καὶ τὰ σὰ
ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ.
αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται.
ΚΛ. ὦ θρέμμ' ἀναιδές, ἦ σ' ἐγὼ καὶ τἄμ' ἔπη
καὶ τἄργα τἀμὰ πόλλ' ἄγαν λέγειν ποεῖ.
ΗΛ. σύ τοι λέγεις νιν, οὐκ ἐγώ. σὺ γὰρ ποεῖς
τοὔργον· τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.
ΚΛ. ἀλλ' οὐ, μὰ τὴν δέσποιναν Ἄρτεμιν, θράσους
τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.
ΗΛ. ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρῃ, μεθεῖσά μοι
λέγειν ἃ χρῄζοιμ', οὐδ' ἐπίστασαι κλύειν.
ΚΛ. οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς
θῦσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;
ΗΛ. ἐῶ, κελεύω, θῦε· μηδ' ἐπαιτιῶ
τοὐμὸν στόμ', ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.
ΚΛ. ἔπαιρε δὴ σὺ θύμαθ' ἡ παροῦσά μοι
πάγκαρπ', ἄνακτι τῷδ' ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων, ἃ νῦν ἔχω.

620 δρᾷν p || 621—625 del. Schoellius; 621 del. Morstadtius p. 23, corruptum putat Nauckius || 622 τἀμ' g | ἔπηι Ll || 623 ΗΛ. nota huic versui praefixa est in g | ποεῖ g: πο*εῖ L ποιεῖ lpe (εῖ in litura) || 624 νῦν g | ποεῖσ Llg: ποιεῖς pe || 625 ΚΛ. nota huic versui praefixa est in g | τοὔργον Llpeg || 626 ΚΛ. om. p add. p^2 | ὄυ (ω superscr.) μάτην L corr. 𝔏 | οὐ pg | δέσποι**ν L δέσποιναν 𝔏 δεσπόιναν l | μὰ τὴν ἄνασσαν Ἄρτεμιν ποίνην θράσους Hartungus || 628 ΗΛ. om. p add. p^2 | ἐκφέρει vulgo || 630 οὐκοῦν g corr. g^1 | ἐπ' p || 631 θύσαι μ' p | σύγ' L corr. 𝔏 || 632 θῦσαι g γρ. θύε superscr. g^2 || 633 στόμα l | ὡς κἂν p οὐ minio superscr. p^1 | πέρᾳ 𝔏l || 636 ἃ Lle^2: ὧν peg ἃ superscripto ὧν vindobonensis

620 ἐμφαντικώτερον τὸ *ἐξαναγκάζει με* διὰ τῆς προθέσεως. || 622 τοῦτο ὅμοιόν ἐστι τῷ 'εὖ νῦν ἐπίστω' ⟨616⟩ καὶ τοῖς ⟨g: τὰ L⟩ ἑξῆς. | *ἦ σ' ἐγὼ καὶ τἄμ' ἔπη*: ὡς δὴ καὶ τοῖς ἔργοις καὶ τοῖς λόγοις μετριάζουσα πρὸς αὐτὴν ταῦτά φησιν ἡ Κλυταιμνήστρα. || 627 πιθανῶς ἐπὶ τῶν ἀγρῶν ⟨g: τὸν ἀγρόν Lv⟩ ἔφη ⟨313⟩ τὸν Αἴγισθον εἶναι ⟨om. Lg⟩ ὑπὲρ τοῦ παρρησίαν δοθῆναι τῇ κόρῃ. ⟨scholion evanidum rescripsit 𝔏.⟩ || 628 ⟨Neuius: 630 Elmsleius⟩ [*οὔκουν ἐάσεις*:] οὐκ ἐμμένεις οἷς πρότερον εἶπας ⟨g: εἶπα Lv⟩· ἔφη γάρ ⟨556⟩ 'καὶ μὴν ἐφίημι'. πιθανῶς δέ· οὐ γὰρ χρὴ ἐν ταῖς ἀντιλογίαις θυμοῦσθαι τὸν ἡττώμενον. || 632 *ἐῶ, κελεύω*: δεῖ γὰρ καὶ προκόπτειν τὴν ὑπόθεσιν· διὸ οὐ ποιεῖται πλείονας ἀντιρρήσεις. || 634 *ἔπαιρε δὴ σύ*: πρὸς τὴν θεράπαιναν φησί. | *θύματα* δὲ θυμιάματα. || 635 ὡς ἐπίπαν δὲ ὄσπρια· ταῦτα γὰρ ἔθυον τοῖς θεοῖς.

κλύοις ἂν ἤδη, Φοῖβε προστατήριε,
κεκρυμμένην μου βάξιν. οὐ γὰρ ἐν φίλοις
ὁ μῦθος, οὐδὲ πᾶν ἀναπτύξαι πρέπει
πρὸς φῶς παρούσης τῆσδε πλησίας ἐμοί,
μὴ σὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ
σπείρῃ ματαίαν βάξιν εἰς πᾶσαν πόλιν.
ἀλλ' ὧδ' ἄκουε· τῇδε γὰρ κἀγὼ φράσω.
ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα
δισσῶν ὀνείρων, ταῦτά μοι, Λύκει' ἄναξ,
εἰ μὲν πέφηνεν ἐσθλά, δὸς τελεσφόρα,
εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες·
καὶ μή με πλούτου τοῦ παρόντος εἴ τινες
δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς,
ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν ἀβλαβεῖ βίῳ

637 *φοῖφε* l corr. l[1] || 639 *ἀναπτῦξαι* g || 640—643 del. Schoellius || 641 *πολγλώσσωι* L corr. L^{s} *παλιγγλώσσῳ* Meinekius philol. XII p. 602 et ad Oed. Col. p. 260 Bergkius ⟨Hesychius *παλιγγλώσσῳ· βλασφήμῳ*⟩ || 642 *ἐς* pe || 644 *τῇδε νυκτὶ* ς || 645 del. Schoellius | *δεινῶν* Schenkelius ztschr. f. oest. gymn. 1869 p. 539 *διπλῶν* Michaelis || 646 *πέφυκεν* Σ vindobonensis || 649 *βουλεύοιεν* Wecklinus art. p. 38 | *ἐφῇς* L^{s}pe (*ἐ* in rasura e[2], super *η* rasura) g: *ἐφεῖσ* L *ἐφεισ* l *ἐφῇς* l[1] *μ' ἐφῇς* monacensis vindobonensis || 650 *ὧδέμ* (*ἀιεὶ* superscr.) p (*εμ* in litura et *ἀιεὶ* add. p[1]) *ἀεὶ* ς | *ἀβλαβῆ βίον* Arnoldus Eos I p. 456. soph. rett. p. 46

637 *ὅτι πρὸ τῶν θυρῶν ἵδρυται* ⟨*ἵσταται τὸ τοῦ Ἀπόλλωνος εἴδωλον* g⟩. ⟨Photivs *προστατήριος· Ἀπόλλων, ἐπεὶ πρὸ τῶν θυρῶν αὐτὸν ἱδρύοντο. Σοφοκλῆς.* Hesychivs *προστατήριος· τὸν Ἀπόλλωνα οὕτω λέγουσι, παρόσον πρὸ τῶν θυρῶν αὐτὸν ἀφιδρύοντο.*⟩ || 638 *οὐ γὰρ ἐν φίλοις*: *οὐκ εἰς τὸν χορὸν ἀποτείνεται, ἀλλ' εἰς τὴν Ἠλέκτραν.* || 642 *σπείρῃ ματαίαν*: *τὸ ματαίαν οὐκ ἔστι ψευδῆ, ἀλλ' ἀνωφελῆ· τί γὰρ πράξοι τοὺς κρατοῦντας διαβάλλουσα;* | *κενήν, διὰ τὸ μηδὲν αὐτὴν δύνασθαι πρᾶξαι.* | *λόγον.* || 643 *ἀλλ' ὧδ' ἄκουε*: *οὕτως ἐμοῦ λεγούσης. τῇδε γὰρ ἀντὶ τοῦ τούτῳ τρόπῳ.* || 645 *δισσῶν ὀνείρων*: *ἢ* ⟨om. gv⟩ *διπλῆν ἐχόντων φύσιν, ὡς καὶ Ὅμηρος* ⟨τ 562⟩ '*δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων*'. *δύναται δὲ τὸ δισσῶν καὶ ἀριθμὸν ἐμφαίνειν* ⟨*δύναται — ἐμφαίνειν* om. g⟩, *ὡς δύο αὐτῆς ὀνείρους θεασαμένης καὶ τὸ μὲν ἓν φάσμα ἡγησαμένης εἶναι, ὑπὲρ οὗ καὶ πέπομφεν ἀποτροπιασθησομένην τὴν Χρυσόθεμιν· τάχα δὲ καὶ ἕτερον αὐτὴν κεκίνηκεν, ὑπὲρ οὗ καὶ εὔχεται τῷ Ἀπόλλωνι, ὅπερ οὐδὲ ἐξεῖπε πρός τινα, οὐδὲ πρὸς τὸν Ἀπόλλωνα* ⟨*καὶ τὸ μὲν — Ἀπόλλωνα* om. g⟩. *ἢ δισσῶν, τῶν ἀμφιβόλων καὶ δισσοποιῶν* ⟨*καὶ δισσοποιῶν* om. v⟩· *ἔλυσε δὲ αὐτὸ εἰποῦσα* '*εἰ μὲν πέφυκεν ἐσθλά, δὸς τελεσφόρα· εἰ δ' ἐχθρά* ⟨*ἐσχρὰ* g⟩, *τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες*'. || 650 *ἀλλ'*

δόμους Ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
φίλοισί τε ξυνοῦσαν οἷς ξύνειμι νῦν
εὐημεροῦσαν καὶ τέκνων ὅσων ἐμοὶ
δύσνοια μὴ πρόσεστιν ἢ λύπη πικρά.
ταῦτ', ὦ Λύκει' Ἄπολλον, ἵλεως κλύων
δὸς πᾶσιν ἡμῖν ὥσπερ ἐξαιτούμεθα.
τὰ δ' ἄλλα πάντα καὶ σιωπώσης ἐμοῦ
ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι·
τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν.

ΠΑΙ. ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς
εἰ τοῦ τυράννου δώματ' Αἰγίσθου τάδε;
ΧΟ. τάδ' ἐστίν, ὦ ξέν'. αὐτὸς ᾔκασας καλῶς.
ΠΑΙ. ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ
κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.

651 ἀμφ' ἔπειν L radendo correctum || 653 εὐημεροῦσάν L α rescripsit L^2 εὐημεροῦσα Erfurdtius εὐημεροῦσιν Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 403 || 654 προσστῇ τις ἢ Burgesius ad Eurip. Troad. p. 157 || 655—659 del. Schoellius | Λύκι' e, corr. e^2 | ἵλεως l || 658 ἐξιδέναι g corr. g^1 || 659 del. Iahnius | ἐστὶν g | πᾶνθ' Ll corr. L^2 πᾶν Wecklinus art. p. 13 | ὁρᾶιν Lp || 660 ξ*ναι p corr. p^1 || 662 ἐστὶ g | ᾔκασας Brunckius: εἴκασας Llpeg || 663 ἦ Lpeg¹: ἢ lg | τήνδ' ἀπεικάζων vindobonensis τήνδε γ' εἰκάζων Schaeferus

ὧδέ μ' αἰεὶ ζῶσαν: τὸ ὅλον ὑπὲρ τοῦ Αἰγίσθου εὔχεται· διὰ δὲ τοῦ πληθυντικοῦ τοῦ ⟨τοῖς g⟩ φίλοις ⟨g: φίλους L⟩ τὸ τολμηρὸν τοῦ λόγου ἐπεκάλυψεν. || 652 φίλοισί τε ξυνοῦσαν: ἀκατάλληλον φαίνεται τὸ ὅλον, ἐὰν μὴ ᾖ τὸ οἷς ξύνειμι νῦν ἀπὸ κοινοῦ λαμβανόμενον· φίλοισί τε καὶ τέκνοις συνοῦσαν, οἷς ξύνειμι νῦν. | τὸ δὲ δύσνοια, ἀπ' αὐτῶν εἰς ἐμέ, ἢ ἀπ' ἐμοῦ. || 653 ἑκάστῃ ἡμέρᾳ ⟨εὐδαιμονοῦσαν ἢ add. g⟩ εὖ διάγουσαν ⟨Suidas εὐημεροῦσαν⟩. || 657 τὰ ⟨ταῦτα?⟩ περὶ τῆς τελευτῆς Ὀρέστου ἔοικεν εὔχεσθαι. τὰ δ' ἄλλα πάντα: ζητοῦσι διὰ τί ἐνταῦθα μὲν οὐκ ἐμφαίνει περὶ τοῦ Ὀρέστου, ὕστερον δὲ τοῦ ἀγγέλου ἐλθόντος φαίνεται ἐφηδομένη. ῥητέον οὖν, ὅτι νῦν μὲν προσδοκῶσα αὐτὸν ἥξοντα ζῶντα ⟨οὐδὲν περὶ αὐτοῦ ἀρᾶται add. g: om. Lv⟩, τότε δὲ ὡς κατὰ ἀποθανόντος παρρησιάζεται ἄφοβος γενομένη. || 660 ξέναι γυναῖκες: ὁ παιδαγωγὸς ἥκει πλασάμενος τὰ περὶ τοῦ θανάτου Ὀρέστου. τὸ δὲ ἦθος αὐτοῦ μέσον ἐστίν, οὔτε ἀποικτιζομένου ⟨οὔθ' ὑποκρινομένου g⟩ παντάπασιν οὔτε ἡδομένου, ἀλλ' ὡς ξένου. εὐκαίρως δὲ ἥκει ἔξω οὐσῶν ἀμφοτέρων, πρῶτον ἵνα μὴ δισσολογοίη πρὸς ἀμφοτέρας ἀπαγγέλλων, δεύτερον πρὸς τὸ δηλωθῆναι τὴν γνώμην ἀμφοτέρων. πιθανῶς δὲ ἐρωτᾷ ὡς ἀγνοῶν. || 663 * Svidas ἐπεικάζω· στοχάζομαι. Σοφοκλῆς 'ἦ — κυρῶ'. * || 664 στοχάζεται ἐκ τῆς στολῆς καὶ

ΧΟ. μάλιστα πάντων· ἥδε σοι κείνη πάρα.
ΠΑΙ. ὦ χαῖρ', ἄνασσα. σοὶ φέρων ἥκω λόγους
ἡδεῖς φίλου παρ' ἀνδρὸς Αἰγίσθῳ θ' ὁμοῦ.
ΚΛ. ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σου
πρώτιστα χρῄζω, τίς σ' ἀπέστειλεν βροτῶν.
ΠΑΙ. Φανοτεὺς ὁ Φωκεὺς πρᾶγμα πορσύνων μέγα.
ΚΛ. τὸ ποῖον, ὦ ξέν'; εἰπέ. παρὰ φίλου γὰρ ὢν
ἀνδρός, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.
ΠΑΙ. τέθνηκ' Ὀρέστης· ἐν βραχεῖ ξυνθεὶς λέγω.
ΗΛ. οἲ 'γὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.
ΚΛ. τί φῄς, τί φῄς, ὦ ξεῖνε; μὴ ταύτης κλύε.
ΠΑΙ. θανόντ' Ὀρέστην νῦν τε καὶ πάλαι λέγω.
ΗΛ. ἀπωλόμην δύστηνος, οὐδέν εἰμ' ἔτι.
ΚΛ. σὺ μὲν τὰ σαυτῆς πρᾶσσ', ἐμοὶ δὲ σύ, ξένε,
τἀληθὲς εἰπέ, τῷ τρόπῳ διόλλυται;
ΠΑΙ. κἀπεμπόμην πρὸς ταῦτα καὶ τὸ πᾶν φράσω.

665 ἥδέ σοι lpeg || 667 κεδνοὺς φίλου Nauckius | δ' ὁμοῦ g || 669 τίσ σ' Elp: τί σ' L τίσ eg | ἀπέστειλεν L (eraso ν) l: ἀπέστειλε peg || 670 πορσύν e ων rasura supra συ facta superscr. e[2] || 671 ξεῖν' e | ἐπέ e, corr. e[1] | περὶ l || 673 λόγῳ g corr. g[3] || 674 οἶ p οἲ p[1] | 'γὼ Brunckius: ἐγὼ Llpeg || 675 φὴς Nauckius | ξένε p || 676 πάλαι λέγω Lg Eustathius: πάλιν λέγω l τότ' ἐννέπω p τότ' ἐνέπω (prius ε in litura) e γρ. τότ' ἐννέπω E || 677 δύστανος g | οὐδὲν εἰμ' peg || 678 πράσσ' lpe πράττ' g || 679 ταληθὲς p

τῶν βασιλείων. || 668 λείπει ἡ ἀπό· ἀπεδεξάμην. || 670 * Evstathivs ad Hom. B 520 p. 274 ὁ δὲ Πανοπεὺς ἀπὸ Πανοπέως ὠνόμασται, υἱοῦ Φώκου. ἕτεροι δὲ Πανόπην μὲν γράφουσι τὴν πόλιν, Πανοπέα δὲ τὸν αὐτῆς πολίτην, ὡς ἐν τοῖς ἐθνικοῖς ⟨Steph. Byz. Πανόπη⟩ γράφεται. ζήτει δὲ καὶ τὸν Σοφοκλῆν εἰπόντα Φανοτεὺς ὁ Φωκεύς· φασὶ γὰρ οἱ παλαιοὶ ἐκεῖ τινα χρήσιμα τοῖς ἐνταῦθα. * || 675 τί φῄς, τί φῄς: οἱ ἡδέος ⟨ἡδέως v⟩ ἀκούοντες λόγου, κἂν πάνυ σαφῶς ἀκούσωσι, δὶς καὶ τρὶς τὰ αὐτὰ ἀκούειν βούλονται. | μὴ ταύτης κλύε: οἷον μὴ διὰ ταύτην φυλάξῃ εἰπεῖν τὰ ἑξῆς. || 676 * Evstathivs ad Hom. Θ 102 p. 702 τὸ πάλαι ... οὐκ ἀεὶ μακρὸν χρόνον σημαῖνον ἀλλ' ἔστιν οὗ καὶ πρόσφατον Ἀττικῶς, ὡς μάλιστα δῆλον καὶ παρὰ Σοφοκλεῖ ἀλλαχοῦ τε καὶ ἐν τῷ ʽνῦν τε καὶ πάλαι λέγωʼ. νῦν μὲν γὰρ ἔφη τὸ προσεχῶς ἄρτι, πάλαι δὲ τὸ ἐν τῷ ἀνωτέρῳ ἐκεῖ προσεχεῖ στίχῳ ⟨cf. Crameri anecd. paris. III p. 32⟩. || 679 τῷ τρόπῳ διόλλυται: ἴδιον καὶ τοῦτο τῶν ἡδομένων· μαθόντες γὰρ τὸ πᾶν, καὶ τὸ κατὰ μέρος ἡδόμενοι πυνθάνονται. ἔπειτα ὁ ποιητὴς βούλεται εὐδοκιμεῖν περὶ ἀγῶνος λέγων Ἑλληνικοῦ.

κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος
πρόσχημ' ἀγῶνος Δελφικῶν ἄθλων χάριν,
ὅτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων
δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις,
εἰσῆλθε λαμπρός, πᾶσι τοῖς ἐκεῖ σέβας·
δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα
νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
χὤπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
οὐκ οἶδα τοιοῦδ' ἀνδρὸς ἔργα καὶ κράτη·
ἓν δ' ἴσθ'· ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς

681—756 interpolationi iophonteae tribuit Schoellius | *'κεῖνοσ* eg (passim) | *ἐς* Dindorfius | *κοινὸν* Thomas Magister p. 286 R. || 683 *ὀρθρίων* PFaber agon. I, 30 | *γηρυμάτων* Herwerdenus anal. crit. p. 12 || 684 *δρόμον* e²g vindobonensis (*ν* ex *υ* corr.): *δρόμου* Llpe || 685 *λαμπρὸν* g || 686 et 687 aliunde huc inlatos post 695 poni posse monet Nauckius | *δρόμω* ut videtur L corr. Γ *δρόμῳ* Suidas (*δρόμοις*) *δρόμον* BThierschius progr. dortmund. 1841 p. 6 Bergkius KWMuellerus progr. rudolstad. 1861 | *τῇ φύσει* LlgΣ Suidas: *τῇ φύσει* pe *τῇ 'φέσει* (*τἀφέσει*) Musgravius ad Eurip. Phoen. 1135 *τἀνύσει* Buchholzius progr. clausthal. 1856 p. 13 | *τὰ στέμματα* KWMuellerus *τότ' ἔργματα* Wolffius || 688 *παύροισι πολλὰ* Bergkius Nauckius || 689 *οὐκ οἶδα· τοῖα τἀνδρὸς* Schneidewinus | *τοιάδ'* ς *τοιαῦτ'* EHoffmannus ztschr. f. oest. gymn. 1854 p. 538 ||
ει
690 *ὅσον* Suidas | *βραβῆσ* L: *βραβησ* Γ *βραβεῖσ* lpeg *οἱ βραβεῖς* Thomas Mag. p. 56 R.

681 ⟨cf. Aristoteles poet. 24 *προαιρεῖσθαί τε δεῖ ἀδύνατα εἰκότα μᾶλλον ἢ δυνατὰ ἀπίθανα· τούς τε λόγους μὴ συνίστασθαι ἐκ μερῶν ἀλόγων, ἀλλὰ μάλιστα μὲν μηδὲν ἔχειν ἄλογον, εἰ δὲ μή, ἔξω τοῦ μυθεύματος, ὥσπερ Οἰδίπους τὸ μὴ εἰδέναι πῶς ὁ Λάιος ἀπέθανεν, ἀλλὰ μὴ ἐν τῷ δράματι, ὥσπερ ἐν Ἠλέκτρᾳ οἱ τὰ Πύθια ἀπαγγέλλοντες, ἢ ἐν Μυσοῖς ὁ ἄφωνος ἐκ Τεγέας εἰς τὴν Μυσίαν ἥκων.*⟩ || 682 *οὔπω ἦν ἐπὶ Ὀρέστου ὁ Πυθικὸς ἀγών.* ⟨Svidas *πρόσχημα· παρακάλυμμα. Σοφοκλῆς 'πρόσχημ' — χάριν', ὡς οὔπω ὄντος τοῦ γυμνικοῦ ⟨Πυθικοῦ?⟩ ἀγῶνος.*⟩ || 686 *δρόμου δ' ἰσώσας: οἷον οὐκ ἐλλείπων κατὰ τὰ τέρματα, ἀλλ' ἴσος φανεὶς τοῖς τέρμασι κατὰ τὴν αὐτοῦ φύσιν τῆς νίκης ἔτυχεν* ⟨*κατὰ — ἔτυχεν* om. Suidas⟩. | *ἄλλως.* ⟨Wolffius: *ἀλλ'* Lv⟩ *ὁμοίως καὶ ἴσως τεθαυμασμένος ἐν τῷ ἀγωνίσματι ὡς ἐπὶ τῇ μορφῇ.* | *ἀντὶ τοῦ ὡς θαυμαστὸς* ⟨v Suidas: *θαυμαστῶς* L⟩ *ἐπὶ τῇ μορφῇ, οὕτως καὶ* ⟨*ἐπὶ* add. Suidas⟩ *τῷ ἔργῳ ἐφάνη· ὡς ἐπὶ τῷ εἴδει, οὕτω καὶ* ⟨*ἐπὶ* add. v Suidas⟩ *τῷ ἔργῳ* ⟨*ἀλλ' — ἔργῳ* om. g⟩ ⟨Suidas *δρόμοις*⟩. | *τινὲς δολιχόν φασιν ἀγωνίσασθαι Ὀρέστην, ὅς ἐστιν κ' στάδια, κ' ἐτῶν ὄντα, ὥστε τῇ φύσει ἴσα τὰ τέρματα τοῦ δρόμου ἐποιήσατο.* | *τοῦ ἐκ ποδὸς δρόμου.* || 690 * Svidas *βραβεῖς· οἱ ἐν τοῖς ἀγῶσι κήρυκες. Σοφοκλῆς 'ὅσον — νομίζεται'.* *

[δρόμων διαύλων πένταθλ' ἃ νομίζεται,]
τούτων ἐνεγκὼν πάντα τἀπινίκια
ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος,
ὄνομα δ' Ὀρέστης, τοῦ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.
καὶ ταῦτα μὲν τοιαῦθ'· ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ' ἱππικῶν
ἦν ἡλίου τέλλοντος ὠκύπους ἀγών,

691 del. Lachmannus de mens. trag. p. 45 Hermannus opusc. VI, 1 p. 13 *διαύλων — τούτων* del. Nauckius | *πενταθλ'* p *πενταέθλ'* p[1] *πεντάθλ'* e, corr. e[2]. *ἆθλ' ἅπερ* Porsonus tracts p. 221 *ἆθλα χὰ* Hartungus. *πενταέθλων ων νόμος* Reiskius Matthiaeus quaest. soph. p. 58 *ὧν νόμος, πεντάθλια* Hermannus ad Eur. Hec. 379 *ὧν τε πέντ' ἄθλων νόμος* Wecklinus art. p. 77 *πέντε τ' ἆθλ' ἃ κλῄζεται* Emperius opusc. p. 308 *ἅλματος δίσκου πάλης* Ahrensius progr. coburg. 1859 p. 15. *πέντε θ' ὧν νομίζεται ἄθλων ἐνεγκὼν* olim Hermannus. *ἄθλων ἀγωνιστάς, ὅσι' ἃ νομ.* Wolffius *ὁρμὴν ἀγώνων, πεντάεθλ' ἃ νομ.* Heimsoethius krit. stud. I p. 300 *δρόμῳ συναύλων ἆθλ', ἅπερ νομ.* ASeyffertus progr. brandenburg. 1868 p. 21 *δρόμον δίαυλον ὧν τε πένταθλον νόμος* Schmalfeldus progr. eisleb. 1868 p. 25 *δρόμων τε πέντε τ' ἆθλ' ἅτινα νομίζεται* Kolsterus n. jahrb. f. philol. XCIX p. 590. *ὅσους — ἀγῶνας ἄλλους, πεντάεθλ' ἃ νομ.* Froehlichius || 692 *ἄθλων ἐνεγκὼν* deleto v. 691 Michaelis | *τὰ 'πινίκια* p || 693 *ἀγκαλούμενος* Dindorfius || 694 *τοῦτο* g corr. g[1] | *κοινὸν* Schneidewinus || 695 *γόνος* Nauckius || 696. 697 adferunt Ioannes Stobaeus ecl. I, 3, 36 p. 124 et Suidas (*ἰσχύων. θεός*) | *τοιαῦτ'* g corr. g[1] || 697 *δύναι**τ'* duabus vel tribus litteris post ι erasis L *δύναι'* Meinekius ad Oed. Col. p. 261. *δύναιτ' ἄρ'* Hartungus. *δύναιτ' οὐδ' ἄν τις* CStuerenburgius quaest. soph. p. 39 | *ἰσχύων* Herwerdenus exerc. crit. p. 113 *ὁ σθένων* Heimsoethius ind. schol. bonn. 1866/7 p. IV || 699 *'πελθόντος* Wolffius

691 ⟨*πένταθλά εἰσι ταῦτα· add. g πέντε γὰρ ἆθλα τελεῖ ἐν τοῖς τοιούτοις· εἰσὶ δὲ* v *Πένθ'* add. Dindorfius praef. schol. in Hom. Od. I p. VII⟩ *ἅλμα, δίσκον, ἄκοντα, δρόμον, πάλην·* ⟨*Πυγμή, δίσκος, δίαυλος, ἅλμα καὶ πάλη·* v⟩ *ταῦτα* ⟨*Ταῦτ'* Dindorfius⟩ *ἐν μιᾷ τις ἠγωνίζετο* ⟨*ἀγωνίζεται* v *ἠγωνίζεθ'* Dindorfius⟩ *ἡμέρᾳ.* ⟨Eustathius ad Hom. Ψ 621 p. 1320 *οἱ μέντοι τὰ περὶ ἱερῶν ἀγώνων ἐπισκεψάμενοι οὕτως ἐμμέτρως τοὺς ἄθλους μετροῦσιν "Ἅλμα ποδῶν, δίσκου τε βολὴ καὶ ἄκοντος ἐρωὴ Καὶ δρόμος ἠδὲ πάλη, μία δ' ἔπλετο πᾶσι τελευτή". καὶ τοῦτό ἐστι, φασί, πένταθλον. ἕτεροι δὲ οὕτως "Ἅλμα, πάλη, δίσκευμα, κοντὸν καὶ δρόμος"* ⟨*δισκεύματ', ἀκόντων ἠδὲ δρόμημα* GHermannus opusc. III p. 27⟩. schol. Plat. amat. p. 135 E *Πένταθλος οὗτος τοῖς νέοις ἀγωνία· Πάλη, σίγυννος, ἅλμα, δίσκος καὶ δρόμος.*⟩ || 696 *ὅμοιον τούτῳ τὸ Πινδαρικόν* ⟨pyth. 2, 50⟩ '*θεός, ὃ καὶ πτερόεντ' ἀετὸν κίχε καὶ θαλασσαῖον παραμείβεται δελφῖνα* ⟨adde: *καὶ ὑψιφρόνων τιν' ἔκαμψε βροτῶν*⟩'.

εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα.
εἷς ἦν Ἀχαιός, εἷς ἀπὸ Σπάρτης, δύο
Λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται·
κἀκεῖνος ἐν τούτοισι Θεσσαλὰς ἔχων
ἵππους, ὁ πέμπτος· ἕκτος ἐξ Αἰτωλίας
ξανθαῖσι πώλοις· ἕβδομος Μάγνης ἀνήρ·
ὁ δ' ὄγδοος λεύκιππος, Αἰνιὰν γένος·
ἔνατος Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος, δέκατον ἐκπληρῶν ὄχον.

700 ἁρματελατῶν l ἁρματαλατῶν g corr. g[1] || 702 λύβιες g || 703 ἐπὶ Nauckius | θεσσαλὸς L corr. L[1] | ἄγων vindobonensis || 705 ξανθέσι g || 706 ὁ δ' om. e, add. e[1] aut e[2] ὅ δ' g | Αἰνιὰν ς Eustathius: αἰνειᾶν Llg αἰνειὰν pe || 707 ἔννατοσ lg ἔνατοσ e (super σ rasura) ἔννατος δ' vel ἔνατος δ' ς | πάρα superscripto ἄπο vindobonensis || 708 βιωτὸς g

701 φιλοτίμως διὰ πιθανότητα ταῦτα ἐπεξεργάζεται. || 702 οἷον εὐζύγων ⟨Wolffius de schol. laur. p. 198: ἀζύγων L⟩. || 703 ὁ Ὀρέστης. || 706 Λεύκιππος Αἰνειᾶν: ἐμοὶ ⟨οὐ add. Wolffius p. 243⟩ δοκεῖ ὄνομα εἶναι· οὐδὲν γὰρ ἄτοπον ἐπίθετον εἶναι ⟨L: ἐπιτίθεται εἶναι v ἐντίθεται· τινὲς ἐπίθετον g⟩. ὄνομα γὰρ κύριον οὐ προτέθεικεν ⟨προστέθεικεν Wolffius⟩ πρὸς τὸ τοῦ πράγματος ἀνεξέλεγκτον· ὅλη γὰρ ἡ διήγησις τοῦ ἀγῶνος πέπλασται. ⟨Eustathius ad Hom. Ε 77 p. 524 Ἡρωδιανὸς δὲ ἐν τῷ περὶ τοῦ ὡς ἐρρέθη κατὰ τὸν Φίλιππον πνευματισμοῦ νοήσας ἑτεροῖόν τι φησὶν ὅτι Φίλιππον μὲν τὸ κύριον ἀξιοῦσιν οἱ γραμματικοὶ ψιλῶς λέγεσθαι, δασέως δὲ τὸ ἐπίθετον, ἀγνοοῦντες ὅτι καθ' ἓν ἑκάτερα δύνανται εἶναι. καὶ γὰρ λεύκιππος λέγεται παρὰ Στησιχόρῳ ἐπιθετικῶς· ἀλλὰ καὶ Λεύκιππος ὀνομάζεται ὁμοίως ὁ Φοίβης καὶ Ἐλαείρας πατήρ· ὥστε ψιλοῖ αὐτὸς ἐν ἀμφοῖν τούτοιν τοῦ ἵππος τὴν ἄρχουσαν καὶ οὐκ ἐν μόνῳ τῷ κυρίῳ. χρῆσις δὲ τοῦ ἐπιθετικοῦ λευκίππου καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ λεύκιππος Αἰνιὰν γένος, ὃ καθὰ ἐκ τοῦ εἷμα λευχείμων, οὕτω καὶ αὐτὸ ἐκ τοῦ ἵππος λεύχιππος ἂν ἦν κοινότερον. ⟨cf. ad Α 197 p. 83.⟩ | οἱ δὲ Αἰνειᾶνες ⟨g: αἰνειᾶν L⟩ τῶν Θεσπρωτῶν ἢ Θρᾳκῶν. Ὅμηρος ⟨Β 749⟩ 'τῷ δ' Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί'. ⟨Eustathius ad Hom. Β 749 p. 335 εἰ δὲ κατὰ τὴν ἀναγραφὴν τῶν ἐθνικῶν ἦν Αἶνος Γουνέως ἀδελφὸς καὶ Αἶνος πόλις Θεσσαλίας, εἴη ἂν εἰκὸς ἐντεῦθεν ποθὲν τοὺς Αἰνιᾶνας κληθῆναι τὸ ἔθνος. οὗ χρῆσις διὰ τῆς ἐν ἀρχῇ διφθόγγου καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ λεύκιππος Αἰνιὰν γένος καὶ ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι πῶλοι ⟨724⟩, ἔνθα οἱ γράφοντες διὰ δύο διφθόγγων τὸ Αἰνειὰν ἐοίκασι παρακούειν ὡς ἀπὸ τοῦ Αἰνείου τὸν Αἰνειᾶνα· ὅπερ παντελῶς ἔψευσται.⟩ || 707 προσχαρίζεται Ἀθηναίοις, ἐν Ἀθηναίοις λέγων.

στάντες δ' † ὅθ' αὐτοὺς οἱ τεταγμένοι βραβῆς
κλήροις ἔπηλαν καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ σάλπιγγος ᾖξαν· οἱ δ' ἅμα
ἵπποις ὁμοκλήσαντες ἡνίας χεροῖν
ἔσεισαν· ἐν δὲ πᾶς ἐμεστώθη δρόμος
κτύπου κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι
φείδοντο κέντρων οὐδέν, ὡς ὑπερβάλοι
χνόας τις αὐτῶν καὶ φρυάγμαθ' ἱππικά.
ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις
ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων
ἔχριμπτ' ἀεὶ σύριγγα, δεξιὸν δ' ἀνεὶς
σειραῖον ἵππον εἶργε τὸν προσκείμενον.

709 *ὅθ'* Lpe: *ὅτ'* lg *ὅθεν* vindobonensis *ἵν'* Nauckius. *πάντες δ' ὅτ'* Koechlyus apud Wolffium. *ὅπου τρισσοὶ* Wolffius *ὅπου νιν* Dindorfius *ὅπου σφιν* Heimsoethius krit. stud. I p. 180 *ὅπου σφας* Wecklinus art. p. 22 | *βραβῆσ* L: *βραβησ* (ει superscr.) E *βραβεῖσ* lpeg || 710 *κλήρους* Wunderus | *ἐπήλασαν* l || 711 *ὑπ' αὖ* Meinekius beitr. zur Antig. p. 40 | *οἵ* le: *οἱ* Lpg *τοῖς* Froehlichius || 712 *ὁμοκλήσοντες* p corr. p[1] || 713 *ἔν δε* l *ἐν δὲ* g *ἐκ δὲ* g[2] || 714 *ἁρμάτων* L || 715 *'φορεῖθ'* Brunckius | *ἀμμεμιγμένοι* Dindorfius || 716 *'φείδοντο* Brunckius | *ἕως* Wecklinus art. p. 17 || 717 *ἄλλων* Musgravius | *φρυάγματ'* g corr. g[1] || 719 *ἀφρισμὸν* Matthiaeus quaest. soph. p. 65 | *εἰσ ἔβαλλον* L corr. E *εἰς ἐπ' ἄλλον* Matthiaeus obs. crit. p. 7 || 720—722 post 733 ponit Burgesius ad Eur. Troad. p. XXII | *αὐτὴν ἐσχάτην* L erasis super *ὴν* et *ην* duabus litteris | *ὄχων* Froehlichius *ἑλὼν* Faehsius syll. lect. p. 332 || 721 *ἔχριμπτ'* Epe: *ἔχριπτ'* Lg *ἔγχριμπτ'* l | *ἔχριμπτεν εὖ* Burgesius | *συρη****** l *γγα* superscr. l[1] | *δεξιὸν δ'* Elpeg: *δεξιὸν* L *δεξιόν τ'* e[2] || 722 *εἶχε* g corr. g[3] | *προκείμενον* pg

716 *ὡς ὑπερβάλοι χνόας τις αὐτῶν*: *οἷον πρῶτοι τοῦ δρόμου γενέσθαι. χνόας δὲ τὰς τοῦ ἄξονος σύριγγας [καὶ τὰ ἱππικὰ φρυάγματα]* ⟨om. Suidas⟩, *ἀπὸ δὲ μέρους τὸ ὅλον ἅρμα. σύριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος· καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτως καλεῖται.* ⟨Suidas *χνόας. σύριγξ — καλεῖται* idem *σύριγξ.*⟩ | *λείπει δὲ τὸ ἐλαύνων.* | *τὸ δὲ χνόας βαρέως· τὰ γὰρ εἰς η̄ καθαρὸν δισύλλαβα τῷ* ⟨υ Suidas: *τὸ* Lg⟩ *ο̄ παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα ὧν προηγεῖται δασύ, βαρύνεται· χνόη, φθόη, χλόη· τὸ δὲ πνοὴ οὐκ ἔχει δασύ.* ⟨Suidas *χνόας.* conf. Herodianus Lenzii I p. 305⟩ | *ὑπεκδράμοι.* || 717 *φυσήματα, πνεύματα.* || 720 *στήλην*: *τὸν λίθον τὸν καμπτῆρα* ⟨Suidas⟩. || 721 *ἔχριμπτ' ἀεί*: *ὅ ἐστι προσεπέλαζε τῷ καμπτῆρι ἀεὶ τὴν ὀπὴν τοῦ τροχοῦ.* ⟨Suidas *ἔχριμπτ' ἀεί· ἀεὶ ἐπλησίαζε.*⟩ ⟨*τὴν ὀπὴν τοῦ τροχοῦ.* add. E⟩ || 722 *σειραῖον ἵππον*: *τὸν*

καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἔστασαν δίφροι·
ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς,
τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον,
μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις·
κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ
ἔθραυε κἀνέπιπτε, πᾶν δ' ἐπίμπλατο
ναυαγίων Κρισαῖον ἱππικῶν πέδον.
γνοὺς δ' οὑξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος
ἔξω παρασπᾷ κἀνοκωχεύει παρεὶς

723 *ἔστασαν* L corr. l¹ | *δίφροισ* l || 724 *Αἰνιᾶνος* ς Plutarchus de curios. 12 p. 521 C Eustathius ad Hom. *B* 749 p. 335: *αἰνειᾶνοσ* Llpeg || 725 *φοροῦσιν* Plutarchus Porsonus adv. p. 210 || 726 post 723 collocat Passovius apud Hermannum, post 724 Burgesius, post 728 Todtius philol. XXXII p. 256 || 727 *καρ*αίοισ* e, corr. e² || 729 *κἀνέπιπτε* L *κἀνέπεπτε* l *κἂν ἔπιπτε* Doederlinus | *ἐμπίπλατο* l || 730 *Κρισαῖον* Brunckius: *χρισσαῖον* Llpg *χρησσαῖον* e *το..ησαίαν* etymol. vindob. *N* 6 | *ἱππικὸν* g etymol. vindob. || 732 *παρασπᾷ* Llpeg Suidas (*δεινά*): *περισπᾷ* Suidas (*περισπᾶν*) | *κἀνοκωχεύει* Dindorfius auctore Cobeto Mnemos. V· p. 189. X p. 88 seq. (nov. lect. p. 170): *κἀνακωχεύει* Llpeg

ἔξω τοῦ ζυγοῦ, τὸν δεξιόν· προσκείμενον δὲ τῷ καμπτῆρι, τὸν ⟨v Suidas: om. Lg⟩ *ἀριστερόν* ⟨Suidas⟩. || 724 *σκληρόστομοι* ⟨Suidas *ἄστομοι ἵπποι*⟩. || 725 *ἐξ ὑπαντήσεως ἐπετίναξαν* ⟨L: *ἐξετείναξεν* g *ὑπετίναξαν* v⟩ *ἐκείνων ὑποστρεφόντων.* || 727 *Βαρκαίοις ὄχοις: τοῖς Λιβυκοῖς· Βάρκη γὰρ πόλις Λιβύης, ἡ νῦν Πτολεμαῒς καλουμένη.* ⟨Suidas. Hesychius *Βαρκαίοις ὄχοις· Λιβυκοῖς. οὗτοι γὰρ ἐσπούδαζον περὶ ἱπποτροφίαν. φασὶν αὐτοὺς καὶ πρώτους ἅρμα ζεῦξαι διδαχθέντας ὑπὸ Ποσειδῶνος, τὸ δὲ ἡνιοχεῖν ὑπὸ Ἀθηνᾶς, ὡς Μνασέας ἐν τοῖς περὶ Λιβύης.* ⟨cf. Stephanus Byz. *Βάρκη· πόλις Λιβύης, ἥτις καὶ Πτολεμαΐς. ... καὶ Βαρκαῖον τὸν Λίβυν φασί· ʽΒαρκαῖον αἶπος᾽. οἳ τὰς ἱπποτροφίας παρὰ Ποσειδῶνος, ἡνιοχεῖν δὲ παρὰ Ἀθηνᾶς ἔμαθον.*⟩ etymologicum magnum p. 188 *Βαρκαίοις ὄχοις· Λιβυκοῖς, ἀπὸ Βάρκης πόλεως Ἑλληνικῆς. καί ἐστιν ἀπὸ μέρους.*⟩ || 730 *ναυαγίων: τῶν πτωμάτων* ⟨Suidas⟩. || 731 *γνοὺς δ' οὑ'ξ Ἀθηνῶν δεινός: δεινὸς ἀντὶ τοῦ ἔμπειρος* ⟨Suidas *δεινά*⟩. *πρὸς εὔνοιαν δὲ τῶν ἀκροωμένων ἐπαινεῖ αὐτὸν ὡς Ἀθηναῖον.* || 732 *φυλαξάμενος, φησί, τούτοις συμπεσοῦσιν ἐμπεσεῖν, ἔξω ἀπ' αὐτῶν παρασπᾷ* ⟨g: *περισπᾷ* Lv Suidas *περισπᾶν*⟩. | *κἀνακωχεύει: ἀνασειράζει, κατέχει· ἀνακωχεύειν γὰρ κυρίως λέγεται, ὅταν χειμῶνος ὄντος ἐν τῷ πελάγει στείλαντες τὰ ἄρμενα* ⟨*ὀθόνια* Suidas⟩ *σαλεύωσιν αὐτόθι μὴ διαμαχόμενοι τῷ πνεύματι. μεταφορικῶς οὖν ἐπὶ τοῦ ἅρματος εἴρηκεν.* | *οὐ διημιλλήσατο, ἀλλ' ἀφῆκε τὸν τῶν ἵππων κλύδωνα καὶ ὕστερος ἠρέμα ἤλαυνεν* ⟨Suidas⟩.

κλύδων' ἔφιππον ἐν μέσῳ κυκώμενον.
ἤλαυνε δ' ἔσχατος μέν, ὑστέρας ἔχων
πώλους, Ὀρέστης, τῷ τέλει πίστιν φέρων·
ὅπως δ' ὁρᾷ μόνον νιν ἐλλελειμμένον,
ὀξὺν δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς
πώλοις διώκει, κἀξισώσαντε ζυγὰ
ἠλαυνέτην, τότ' ἄλλος, ἄλλοθ' ἅτερος
κάρα προβάλλων ἱππικῶν ὀχημάτων.
καὶ τοὺς μὲν ἄλλους πάντας ἀσφαλεῖς δρόμους
ὠρθοῦθ' ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων·
ἔπειτα λύων ἡνίαν ἀριστερὰν
κάμπτοντος ἵππου λανθάνει στήλην ἄκραν
παίσας· ἔθραυσε δ' ἄξονος μέσας χνόας
κἀξ ἀντύγων ὤλισθε, σὺν δ' ἑλίσσεται
τμητοῖς ἱμᾶσι· τοῦ δὲ πίπτοντος πέδῳ
πῶλοι διεσπάρησαν ἐς μέσον δρόμον.
στρατὸς δ' ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,
οἷ' ἔργα δράσας οἷα λαγχάνει κακά,

733 *ἐφίππων* L corr. Ꞓ *νέφιππον* e, corr. e[1] ‖ 734 *εὔστοχος* Burgesius | *ὑστέρας* Ll: *ὑστέρας δ'* Ꞓpeg | *δὲ σχεδὸν μέν, ὑστέρας δ'* Wakefieldus silv. crit. III p. 185 ‖ 735 *τὸ τότ' ἀνέλπιστον φέρων* Burgesius ‖ 736 *ὅπωσ δ'* Lg: *ὅδ' ὡσ δ'* Ꞓl *ὅδ' ὡσ* pe | *νιν μοῦνον* Nauckius | *ἐλλελειμμένον* Ꞓp: *ἐνλελειμμένον* Ll *ἐλλελειμένον* e *ἐκλελειμμένον* g ‖ 737 *ἐνσείσας* Llg Eustathius ad Hom. *γ* 176 p. 1462: *ἐνδείσας* p(*δ* in litura p[1])e *ἐνσίξας* KWMuellerus progr. rudolstad. 1861 ‖ 738 *κἀξισώσαντεσ* pe *κἀξισώσαντασ* g ‖ 739 *ὅδ' ἄλλοτ'* Martinus *τότ' αὐτός* Nauckius ‖ 741 *ἀσφαλὴς* Nauckius ‖ 742 *ὠρθοῦ*'* L corr. Ꞓ *ὀρθοῦθ'* g *ὠχεῖθ'* Nauckius (eurip. stud. II p. 151) ‖ 743 *ἔπειτα δ' ἕλκων* Froehlichius *ἔπειτ' ἀνέλκων* Arndtius progr. neobrandenburg. 1854 p. 13 *ἔπειτα τανύων* Toepferus progr. luccav. 1831 p. 24 *ἔπειτ' ἐρύκων* Wolffius (ztschr. f. gymn.-w. VII p. 901) *ἔπειτα τείνων* Hartungus *ἔπειτ' ἀλεύων* Bergkius ‖ 744 *κάμπτοτος* g ‖ 745 *αξονασ* L corr. Ꞓ ‖ 746 *αντίγων* g | *ὤλισθε* peg: *ὤλισθεν* Ll. *ὤλισθεν, ἐν δ'* Nauckius ‖ 747 *δ' ἐπίπτοντοσ* g | *πέδοι* Dindorfius ‖ 751 *γρ. τυγχάνει* Ꞓ *τυγχάνει* l

735 *τῷ τέλει πίστιν φέρων*: *οἷον πιστεύων ὅτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται* ⟨Suidas *ἤλαυνεν*⟩. | *ἢ νομίζων ἕως τοῦ τέλους οὕτως ἐλαύνειν* ⟨Suidas *τῷ τέλει*⟩. ‖ 738 *ὁ Ὀρέστης καὶ ὁ Ἀθηναῖος.* ‖ 743 *χαυνῶν διὰ τὸ συμπεπλέχθαι.* ‖ 745 *τὸ λεπτὸν μέρος τοῦ ἄξονος, τὸ τριβόμενον ὑπὸ τῆς χοινικίδος· εἴρηται δὲ ὁμοίως τὸ* ⟨L: *τῶ* g⟩ *παρ' Ἀπολλωνίῳ* ⟨I, 757⟩ '*ἄξονος* ⟨*ἀζόμενος* Lg⟩ *ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο* ⟨*αἰνυμένοιο* Lg⟩'.

φορούμενος πρὸς οὖδας, ἄλλοτ' οὐρανῷ
σκέλη προφαίνων, ἔστε νιν διφρηλάται,
μόλις κατασχεθόντες ἱππικὸν δρόμον,
ἔλυσαν αἱματηρόν, ὥστε μηδένα
γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
καί νιν πυρᾷ κέαντες εὐθὺς ἐν βραχεῖ
χαλκῷ μέγιστον σῶμα, δειλαίαν σποδόν,
φέρουσιν ἄνδρες Φωκέων, τεταγμένοι
ὅπως πατρῴας τύμβον ἐκλάχοι χθονός.
τοιαῦτά σοι ταῦτ' ἐστίν, ὡς μὲν ἐν λόγοις
ἀλγεινά, τοῖς δ' ἰδοῦσιν, οἵπερ εἴδομεν,
μέγιστα πάντων ὧν ὄπωπ' ἐγὼ κακῶν.
ΧΟ. φεῦ φεῦ· τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
πρόρριζον, ὡς ἔοικεν, ἔφθαρται γένος.
ΚΛ. ὦ Ζεῦ, τί ταῦτα, πότερον εὐτυχῆ λέγω,
ἢ δεινὰ μέν, κέρδη δέ; λυπηρῶς δ' ἔχει,
εἰ τοῖς ἐμαυτῆς τὸν βίον σῴζω κακοῖς.
ΠΑΙ. τί δ' ὧδ' ἀθυμεῖς, ὦ γύναι, τῷ νῦν λόγῳ;

752 ante ἄλλοτ' quaedam excidisse putat Morstadtius p. 24 || 753 ἔσ$\overset{\tau}{*}$ε g, corr. et ἕως superscripsit g[3] | διφρηλᾶται g || 754 κατασχεθόντες Dindorfius auctore Elmsleio: κατασχέθοντεσ Llpe[2] κατασχεθέντεσ eg || 757 νι* πηρᾷ e, corr. e[1] | κέαντες Erfurdtius suasore Brunckio: κήαντεσ Lle κήαντεσ p κήοντεσ g | ἐνθὺσ ut videtur L corr. L. ἐνθέντες βραχεῖ Wecklinus art. p. 8 || 758 del. Deventerius de interpol. in Soph. trag. p. 60, corruptum putat Nauckius | δειλαίαν σποδόν (Neuius) Hartungus Madvigius adv. crit. I p. 219: δειλαίασ σποδοῦ Llpeg. μεγίστου σώματος δειλὴν (βαιὰν Nauckius) σποδὸν Wecklinus art. p. 77 || 760 ἐκλάχῃ ς || 761—763 suspecti Morstadtio p. IV | λόγοισ Llpe: λόγωι Lg || 762 τοῖς δ' ἄλλοισιν Heimsoethius krit. stud. I p. 80 τοῖς παροῦσι δ' Nauckius | ὥσπερ laurentianus Δ || 763 ὄπωπέ τις Eggertus quaest. soph. p. 59 | τοῖς δ' ἰδοῦσιν, ὡς ὄπωπ' ἐγώ, μέγιστα (vel ἄλγιστα) πάντων ὧνπερ εἴδομεν κακῶν Nauckius || 766 ταῦτα; Schaeferus | πότερα g || 767 γ' ἔχει Hartungus | ἔχει superscripto οισ g || 768 del. Iahnius, adfert Suidas | τῶν ἐμαυτῆς Seidlerus | σώζω Llpeg || 769 ἀλύεις olim Nauckius | τῷ ναῦ L corr. L ποίω vindobonensis (γρ. τῷ νῦν m. 2) τῷδ' αὖ olim Nauckius (n. jahrb. f. phil. LXXXV p. 158) τῷ 'μῷ Morstadtius p. 24

757 καὶ ⟨lemma putat Iahnius⟩ ἵνα ἀξιόπιστος εἴη ὁ ἄγγελος καὶ ⟨add. Michaelis⟩ ἵνα πάλιν τὸ περιπαθὲς εἴη τῇ Ἠλέκτρᾳ ⟨L: τοῦτο δὲ λέγει ὁ ἄγγελος ἵνα ἀξιόπιστος ᾖ, ἢ ⟨Michaelis: εἴη g εἴη ἢ Trendelenburgius gramm. iud. p. 125⟩ ἵνα περιπαθὲς τὸ πάθος γένηται τῇ Ἠλέκτρᾳ g⟩. || 758 ἀντὶ αἰτιατικῆς. ⟨ἀντίπτωσις. add. L[2]⟩ 766 ὡς μὲν γυνὴ κεκίνηται ἐπὶ τῷ πάθει. πρὸς δὲ τὸν κίνδυνον ἀποβλέπουσα ἥδεται ⟨Suidas ὦ Ζεῦ⟩, διὰ δὲ τὸν χορὸν ἀλγεῖν ὑποκρίνεται.

ΚΛ. δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
πάσχοντι μῖσος ὧν τέκῃ προσγίγνεται.
ΠΑΙ. μάτην ἄρ' ἡμεῖς, ὡς ἔοικεν, ἥκομεν.
ΚΛ. οὔτοι μάτην γε. πῶς γὰρ ἂν μάτην λέγοις,
εἴ μοι θανόντος πίστ' ἔχων τεκμήρια
προσῆλθες, ὅστις τῆς ἐμῆς ψυχῆς γεγώς,
μαστῶν ἀποστὰς καὶ τροφῆς ἐμῆς φυγὰς
ἀπεξενοῦτο καί μ', ἐπεὶ τῆσδε χθονὸς
ἐξῆλθεν, οὐκέτ' εἶδεν, ἐγκαλῶν δέ μοι
φόνους πατρῴους δείν' ἐπηπείλει τελεῖν;
ὥστ' οὔτε νυκτὸς ὕπνον οὔτ' ἐξ ἡμέρας
ἐμὲ στεγάζειν ἡδύν, ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
νῦν δ' — ἡμέρᾳ γὰρ τῇδ' ἀπήλλαγμαι φόβου
πρὸς τῆσδ' ἐκείνου θ'· ἥδε γὰρ μείζων βλάβη
ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσ' ἀεὶ
ψυχῆς ἄκρατον αἷμα — νῦν δ' ἕκηλά που
τῶν τῆσδ' ἀπειλῶν οὕνεχ' ἡμερεύσομεν.
ΗΛ. οἴμοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα,
Ὀρέστα, τὴν σὴν ξυμφοράν, ὅθ' ὧδ' ἔχων
πρὸς τῆσδ' ὑβρίζῃ μητρός. ἆρ' ἔχει καλῶς;
ΚΛ. οὔτοι σύ· κεῖνος δ' ὡς ἔχει καλῶς ἔχει.
ΗΛ. ἄκουε, Νέμεσι τοῦ θανόντος ἀρτίως.
ΚΛ. ἤκουσεν ὧν δεῖ κἀπεκύρωσεν καλῶς.
ΗΛ. ὕβριζε· νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.

770 *ου*ὲ* L corr. L^2 | *οὐδὲ καὶ* Valckenarius ad Eur. Phoen. 358 | *πάσχοντι* perperam huic versui additum del. l || 771 *τέκῃ* L^{2}pe Ioannes Stobaeus floril. 76, 5: *τέκει* Llg | *προσγίνεται* Llpeg || 772 *ἀρ'* p || 773 *λέγεισ* g || 779 *δεῖν'* p(corr. p^2)eg || 780 *νυκτὸς δαίμον'* Heimsoethius krit. stud. I p. 193 | *ἐξ* superscripto *ἐπὶ* e *ἐφ'* Meinekius philol. XX p. 719 Heimsoethius. *οὐ μεθ' ἡμέραν* Wecklinus art. p. 71 || 781 *ψεκάζειν* vel *ψακάζειν* Herwerdenus ad Oed. Reg. p. 200. *ἐμοὶ πελάζειν* Reiskius | *προσστατῶν* Meinekius || 782 *διῆγχέ μ'* Wexius progr. suerin. 1863 p. 18 || 783 *ἀπήλλαγμαι* LL^{2}pe: *ἀπηλλάγην* L(*μαι* superscr. L^2)e^{2}g Suidas (*προστατῶν*) | *φόνου* g || 784 *τ'* Ll corr. L^2 | *ἦδ' ἀείζως γὰρ βλαβή* Burgesius ad Aesch. suppl. p. 216 *ἥδε δ' οὐ μείων βλαβή* Morstadtius p. 25 || 786 *δ'* om. l || 787 *οὕνεχ'* L^{2}pe: *οὕνεκ'* Ll *οὔνεχ'* g *εἵνεχ'* Nauckius || 789 *συμφοράν* e || 790 *ὑβρίζεισ* g *ὑβρίζει* vulgo | *ἆρ'* L corr. L^2 || 791 alterum *ἔχει* om. g add. g^2 || 792. 793 om. g in margine add. g^1 | *νέμεσσι* L(priore *σ* eraso)l || 793 *κἀπεκύρωσε* p(*ν* add. p^2)eg | 794—798 interpolatori tribuit Schoellius | *ἐυτυχοῦσα* L

781 *ὁ ἐπιγενόμενος* ⟨Suidas *προστατῶν*⟩.

ΚΛ. οὔκουν Ὀρέστης καὶ σὺ παύσετον τάδε.
ΗΛ. πεπαύμεθ' ἡμεῖς, οὐχ ὅπως σε παύσομεν.
ΚΛ. πολλῶν ἂν ἥκοις, ὦ ξέν', ἄξιος † φιλεῖν,
·ἱ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.
ΠΑΙ. ᾿κοῦν ἀποστείχοιμ' ἄν, εἰ τάδ' εὖ κυρεῖ.
ΚΛ. ῾ ιστ'· ἐπείπερ οὔτ' ἐμοῦ καταξίως
πράξειας οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοθεν βοᾶν
ἔα τά θ' αὑτῆς καὶ τὰ τῶν φίλων κακά.
ΗΛ. ἆρ' ὑμὶν ὡς ἀλγοῦσα κὠδυνωμένη
δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα;
ἀλλ' ἐγγελῶσα φροῦδος. ὦ τάλαιν' ἐγώ·
Ὀρέστα φίλταθ', ὥς μ' ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχῃ φρενὸς
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε
κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν;
μόνη γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη

795 *οὔκουν* Ll: *οὐκ οὖν* l^1 *οὐκοῦν* peg. *οὐκ οὖν — τάδε;* Nauckius ||
δὴ
796 *ὅπωσ ἐπαύσομεν* L corr. Ŀ *ὅπωσϹεπαύσομεν* l(*δὴ* et *Ϲ* add. l^2) || 797 *ἂν ἥκοισ* Llp: *ἂν ἥκεισ* g *ἂν εἴης* e (*εἴης* e^2 in litura) *ἂν ἥκες* Monkius Heimsoethius krit. stud. I p. 97 *ἄρ' ἥκεις* Morstadtius p. 26 | *φιλεῖν* Ll: *τυχεῖν* Ŀl^1peg^3 (in margine) *φίλοσ* g *λαχεῖν* Heimsoethius *φέρειν* WHoffmannus ztschr. f. gymn.-w. 1865 p. 372 ASeyffertus progr. brandenb. 1868 p. 21 *φίλοιν* Wolffius *φίλοις* Nauckius || 798 *τήνδε παύσαις* Wunderus | *περισπερχοῦς* Meinekius philol. XIII p. 551 ⟨Hesychius *περισπέκτου* ⟨*περισπέρχου* Musurus⟩ *βοῆς· ὑπερεπειγούσης*⟩ *παλιγλώσσου* Bergkius || 799 *οὔκουν* Dindorfius. *οὐκ οὖν — κυρεῖ;* Elmsleius ad Eur. Bacch. 191 | *εὐ* L corr. Ŀ || 800 *ἐπεί γ' ἂν* ASeyffertus progr. brandenb. 1868 p. 12 *ἐπεὶ τἂν* Michaelis | *κατ' ἀξίαν* ienensis *κατάξι' ἂν* Bothius Monkius Elmsleius ad Eur. Heracl. 544. *ἐμοῦ γ' ἂν ἀξίως* Arnoldus soph. rett. p. 48 || 801 *πράξαις ἂν* Hennebergerus progr. meining. 1849 p. 14 Schneidewinus | *οὔτ' ἂν* Bergkius | *σοῦ* g || 802 *τήν δέ δ'* L *δ'* erasum rescripsit Ŀ | *ἔκτοσθεν* pe | *βοᾷν* p || 803 *τά*θ'* L *ταῦθ'* g | *αὐτῆσ* g || 804 abesse malit Nauckius | *ὑμῖν* lp *ἡμῖν* g *ὔμιν* Bergkius || 805 *κἀπικωκύσαι* L | *οὐ* ante *δοκεῖ* inserit g^1 || 807 *φροῦδοσ* l *ον* superscr. l^1 | *ὦ* eg^1: *ὢ* Llpg || 808 *φίλτατ'* lg | *οἴχηι φρενὸσ* Ŀp in litura: *οἴχη φρενὸσ* e *φρενὸσ οἴχηι* Llg || 810 *μόνον* p || 811 *ἥξει* L corr. Ŀ || 812 *πῆ* p | *μένειν* Schneidewinus *βλέπειν* Wolffius || 813 *σου δ' ἀπεστηρημένη* g

808 * ANONYMVS art. rhet. I p. 457 Sp. *κινεῖ δὲ ἔλεον καὶ τὸ τοῖς μηκέτ' οὖσι διαλέγεσθαι, ὡς Εὐριπίδης πεποίηκε λέγειν τὴν Ἑκάβην ⟨684 sqq.⟩ καὶ ὁ Σοφοκλῆς τὴν Ἠλέκτραν.* *

καὶ πατρός. ἤδη δεῖ με δουλεύειν πάλιν
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοί,
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ' οὔ τι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
† ξύνοικος ἔσομ', ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ' ἐμαυτὴν ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα καινέτω τις, εἰ βαρύνεται,
τῶν ἔνδον ὄντων· ὡς χάρις μὲν ἢν κτάνῃ,
λύπη δ' ἐὰν ζῶ· τοῦ βίου δ' οὐδεὶς πόθος.

ΧΟ. ποῦ ποτε κεραυνοὶ Διός, ἢ ποῦ φαέθων (στρ. α')
῞Αλιος, εἰ ταῦτ' ἐφορῶντες

814 ἠδή pe^{1} ἤδέ e ἢ δὴ Brunckius. ἢ δὴ — ἐμοί; deleto versu 816 Morstadtius p. 26 | δουλείαν παθεῖν Todtius philol. XXXII p. 257 || 815 τοῖσ g | ἐχθίστοισιν p, ιστοι in litura p^{1} || 816 del. Schoellius Todtius philol. XXXII p. 257 | ἄρα μοι p || 817 ἐγὼ τοῦ γε p || 818 ξύνοικοσ ἔσομ' Llg: ξύνοικοσ ἔσσομ' Πpe ξύνοικος ἔσομαι ς ξύνοικος αὐτοῖς vel potius ξύνοικος εἴσειμ' Hermannus ξύνοικος ἔνδον Schneidewinus ξύνοικος ἕζομ' EHofmannus ztschr. f. oest. gymn. 1854 p. 539 ξυνεστιάσομ' Schmalfeldius progr. eisleb. 1861 p. 37. ἔσομαι ξύνοικος Dawesius misc. crit. p. 276 ἔτι ξύνοικος Hermannus ξυνὴ ξύνοικος Kolsterus philol. V p. 612 στέρξω ξυνοικοῦσ' Kayserus n. jahrb. f. philol. LXIX p. 508 ἔσω ξύνοικος Schmidtius arch. f. phil. XVII p. 293 κείνοις ξύνοικος Heimsoethius wiederherst. d. Aesch. p. 211 ἔτ' οἶκον εἴσειμ' idem krit. stud. I p. 57 τὸν οἶκον εἴσειμ' Prinzius. ξύνοικος ἔσομαι τῇδέ γ', ἀλλὰ Erfurdtius ξύνοικος ἔσομαι· μάλλὰ Bergkius | αιλὰ e, corr. e^{1} || 819 ἄφιλον vindobonensis (ν corr. ut videtur ex ς) Monkius Bergkius || 820—822 del. Schoellius | τίσ lg || 821 ἣν θάνω schol. 975 || post 822 Wolffius v. 1107. 1108 collocat || 823 ποῦ — αἰαῖ Electrae continuant Brunckius Hamacherus | κεραυνου g corr. g^{1} || 824 ἅλιοσ pe Suidas: ἀέλιοσ Lle^{1}g || 825 ἀφορῶντεσ g ἐφορῶντες ◡◡– Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 447

818 ξύνοικος ἔσομαι: τοῦτο οἰκονομικῶς. εἰ γὰρ ἀπορήσασα ἐπὶ τοῖς ἠγγελμένοις ἀπέκτεινεν ⟨Michaelis: ἀπέκλινεν Lv ἀπέκαινεν Trendelenburgius gramm. iud. p. 98⟩ ἑαυτήν, διελύετο ἂν ἡ ὑπόθεσις. || 823 ποῦ ποτε κεραυνοὶ Διός: ἐν τοῖς ἔμπροσθεν παραμυθούμενος ὁ χορὸς τὴν Ἠλέκτραν ἔλεγεν ⟨173⟩ 'θάρσει μοι, τέκνον, θάρσει· ἔστι μέγας ἐν οὐρανῷ Ζεὺς' καὶ τὰ ἑξῆς· νῦν οὖν πανταχόθεν ἀπεγνωσμένης τῆς σωτηρίας καὶ προστεθείσης τῆς κατὰ τὸν Ὀρέστην συμφορᾶς, εἰκότως παρακεκινδυνευμένῳ τῷ λόγῳ ἐχρήσατο, ὥστε καὶ περὶ θεῶν τι εἰπεῖν καὶ ὅλως ⟨del. Trendelenburgius gramm. iud. p. 130⟩ ἀμφιβάλλειν, εἰ ὅλως ἐν οὐρανῷ εἰσιν, εἴ γε περιορῶσι ⟨τὰ add. gv⟩ τοιαῦτα γινόμενα. καὶ τὸν μὲν Ἥλιον ὡς πάντα ἐφορῶντα παρέλαβεν ⟨Hom. Γ 277⟩, τὸν δὲ Δία ὡς πάντων δεσπότην ὄντα. ⟨|| 829⟩ δεῖ δὲ ⟨om. g⟩ τὸν ὑποκριτὴν ἅμα τῇ βοῇ ⟨gv: βουλῇ L⟩ ἀναβλέψαι τε εἰς οὐρανὸν καὶ τὰς χεῖρας ἀνατεῖναι· ὃ δὴ κωλύει ὁ χορὸς ⟨830⟩ 'μηδὲν μέγ' ἀύσῃς'. ⟨suo loco haec scripsit g.⟩

κρύπτουσιν ἔκηλοι;
ΗΛ. ἓ ἕ, αἰαῖ.
ΧΟ. ὦ παῖ, τί δακρύεις;
ΗΛ. φεῦ.
ΧΟ. μηδὲν μέγ' ἀύσῃς.
ΗΛ. ἀπολεῖς
ΧΟ. πῶς;
ΗΛ. εἰ τῶν φανερῶς οἰχομένων
εἰς Ἀίδαν ἐλπίδ' ὑποίσεις, κατ' ἐμοῦ τακομένας
μᾶλλον ἐπεμβάσῃ.
ΧΟ. οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων χρυσοδέτοις (ἀντ. α')

826 κρύπτουσιν — αἶ αἶ g in marg. praefixa στίχος nota | κατακρύπτουσιν Kayserus act. sem. phil. heidelb. p. 59 || 827 ἓ ἓ L ἓν e, corr. e[1] αἰαῖ Dindorfius | αἰαῖ Hermannus: αἶ αἶ Lg αἰ αἰ Llpe αἶ. αἶ. l || 828 ὦ om. g || 830 ἀΰσῃσ Llpe: ἀΰσεισ Ll εἴπῃσ g ἀνύσῃς (ύσῃς in lit.) vindobonensis || 831 ἀπολεῖς με vindobonensis || 833 χομένων ἐσ ἀΐδαν separato versu L | εἰσ g: ἐσ Llpe || 834 ἐλπί**δ' e (fuisse videtur ἐλπίπιδ') ἐλπίδ*' g | ὑπειίσεισ l corr. l[1] || 835 κατά μου Elmsleius ad Ai. 969. κατ' ἐμοὶ (vel κατά μοι) τακομένᾳ Morstadtius p. 27 | τακομέναισ separato versu L || 836 ἐπεμβάσει vulgo || 838 χρυσοδέτοισ separato versu L

826 οἷον οὐκ ἄγουσιν εἰς φῶς τὴν τούτων παρανομίαν ⟨Suidas κεραυνοί⟩. || 827 θρηνεῖ ἡ Ἠλέκτρα τὸν ἀδελφόν· ἐλεεινὸν δὲ λίαν τὸ τοιοῦτο μέρος. || 830 ἐν τοῖς προφανέσι καὶ ἀθεραπεύτοις πάθεσι μετριάζειν αὐτὴν ἀξιοῦσιν. || 831 ἀπολεῖς: δαιμονίως τοῦτο ἐπήγαγεν. οὐ γὰρ ἀμελήσασα τῶν ἀπὸ τοῦ χοροῦ ἐπιτιμήσεων ἐρεῖ τι ἀπρεπὲς εἰς θεούς, ἐπεὶ καὶ τελέως ἀμηχανεῖ ὁ Σοφοκλῆς εἰς τοὺς θεοὺς βλασφημῶν, καὶ γὰρ εἷς ἦν τῶν θεοσεβεστάτων, ἀλλ' ὥσπερ δυσχεραίνουσα ταῖς ἐπιτιμήσεσιν ὡς ψυχραῖς τοῦτο φησίν. | ἀποκναίεις ⟨L: ἀπολεῖς g⟩ με, φησίν, ἐν τοῖς ἀθεραπεύτοις με παρηγοροῦσα. | 836 οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων: χρυσοδέτοις, ταῖς διὰ χρυσοῦ γενομέναις τέχναις, τοῦ ⟨ὅρμου add. ed. rom.: om. Lgv⟩ δοθέντος Ἐριφύλῃ διὰ τὴν Ἀμφιαράου ἔξοδον. ⟨λέγει δὲ τὸν ὅρμον τὸν ἐκ χρυσοῦ πεποιημένον. add. v⟩ | διὰ τὰς τῆς γυναικὸς αὐτοῦ ἀπάτας ⟨διὰ — ἀπάτας om. v⟩. | ἄλλως. τὸ χρυσοδέτοις ἕρκεσιν ἢ ἐπὶ τῶν ἁρμάτων φησίν, οἷον τοῖς χρυσῷ δεδεμένοις καὶ κατεσκευασμένοις, ἅπερ ἕρκη εἶπεν οἷον περιφράγματα καὶ τείχη, ὧν οὐκ ἐξέφυγεν ὁ Ἀμφιάραος ἀλλ' ἐνεσχέθη ἐν αὐτοῖς. ἢ χρυσοδέτοις, τῷ ὅρμῳ, ὃς ἦν ἐκ χρυσοῦ πεποιημένος· τὸ δὲ ἕρκεσιν οἷον τοῖς δεσμοῖς καὶ φράγμασιν καὶ τῇ ἀνάγκῃ τῇ ἀπὸ τοῦ ὅρμου γενομένῃ. τὸ δὲ γυναικῶν ἀπάταις ἢ τῇ ἀπὸ τῆς γυναικὸς ἀπάτῃ, ἢ καθόλου τὸν χρυσὸν γυναικῶν ἀπάτην εἶπεν. θαυμαστῶς δὲ εἴκασεν, ὅτι καὶ οὗτος διὰ γυναικῶν ἀπώλετο. | ⟨Ἀμφιάραον: Ἀμφιάραος ἦν μάντις ἄριστος, ὃς ᾔδει τὸν ἐσόμενον ὄλεθρον τοῖς κατ' ἐκεῖνον καιρὸν πρὸς πόλεμον τὸν Θηβαϊκὸν ἀπερχομένοις ὑπ' Ἀδράστῳ τῷ στρατηγῷ· ἐφ' ᾧ ⟨ἐφῶ v⟩

ἕρκεσι κρυφθέντα γυναικῶν [ἀπάταις]·
καὶ νῦν ὑπὸ γαίας
ΗΛ. ἒ ἔ, ἰώ.
ΧΟ. πάμψυχος ἀνάσσει.
ΗΛ. φεῦ.
ΧΟ. φεῦ δῆτ'· ὀλοὰ γὰρ
ΗΛ. ἐδάμη.
ΧΟ. ναί.
ΗΛ. οἶδ' οἶδ'· ἐφάνη γὰρ μελέτωρ

838 ἕρκεσιν Bergkius | ληφθέντα Deventerius de interpol. in Soph. tragoediis p. 60 | γυναικῶν ἀπάταις separato versu L | γυναικὸς Herwerdenus exercit. crit. p. 127 | ἀπάταις seclusit Brunckius. κρυφθέντ' ἀπάταισι Triclinius ‖ 839 καὶ del. Kayserus act. sem. phil. heidelb. p. 59 | γαῖαν vindobonensis ‖ 840 ἒ ἔ. et separato versu ἰώ. L ἔ. ἔ. ἰώ. ἰώ l αἶ αἶ ἰώ vindobonensis αἰαῖ, αἰαῖ Dindorfius ‖ 841 παμοῦχος vel τιμοῦχος Nauckius (philol. XII p. 643) πάντιμος Morstadtius ‖ 843 τἄρ' Wolffius γοῦν vaticanus 47 Turnebus ‖ 846 alterum οἶδ' om. g | μητρολέτωρ Nauckius γὰρ νεμέτωρ Meinekius ad Oed. Col. p. 263 | μελέτωρ — ἐν separato versu L

καὶ πολλὰ βιασθεὶς καὶ μηδ' ὅλως ὑπείξας εἰς Θήβας συναπελθεῖν, ὑπὸ τῆς ἰδίας πείθεται γυναικὸς τρόπον τοιόνδε· Ἄδραστος ὁ στρατηγὸς. δεξιωσάμενος Ἐριφύλην τὴν τούτου γαμετὴν δώροις πείθει τὸν ἄνδρα αὐτῆς καταπεῖσαι πρὸς ἐκστρατείαν συναπελθεῖν, ἥτις καὶ πείθει πολλὰ αἰτισθεῖσα παρ' ἐκείνου διὰ τὴν τῶν δώρων ὑποδοχήν. ἀπελθὼν οὖν ὁ Ἀμφιάραος εἰς τὴν ἐκστρατείαν ἀναιρεῖται. χρυσοδέτοις δὲ ἕρκεσιν εἶπε, τοῖς δώροις τοῖς χρυσείοις, ἃ αἴτια τῆς τοῦ Ἀμφιαράου γεγόνασιν ἀναιρέσεως. add. v⟩ ‖ 839 ὁ χορός φησιν ὅτι καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἐστί τις εὐτυχία· τιμὴν δὲ αὐτῷ φησιν ἔσεσθαι διὰ τὸ μαντεύεσθαι αὐτόν ⟨κατ' ἐνιαυτόν g⟩. ‖ 840 οὐ προσιεμένη οὐδὲ τοὺς τοιούτους λόγους θρηνεῖ ἡ Ἠλέκτρα. ‖ 841 πάμψυχος ἀνάσσει: ἀντὶ τοῦ πασῶν ψυχῶν ἀνάσσει ⟨ἐν Ἅιδου add. Suidas omissis αἳ — μαντικῆς⟩, αἳ δὴ ἐν χρείᾳ καθεστᾶσι τῆς ἐκείνου μαντικῆς. ἢ πάμψυχος ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν· ἢ ὁ διαπαντὸς τὴν ψυχὴν σώζων, ὅ ἐστιν ἀθάνατος ⟨Suidas⟩. ‖ 842 μνησθεῖσα τῆς Ἐριφύλης ἡ Ἠλέκτρα ἀναβοᾷ ἐπὶ τῷ ἤθει αὐτῆς δυσχεραίνουσα. ‖ 843 φεῦ δῆτ' ὀλοὰ γάρ: ὁ χορὸς συγκατατιθέμενός φησιν ὅτι δικαίως ἀνεβόησας· ὀλοὴ γὰρ ἦν ἡ Ἐριφύλη. ὅρα δὴ οὖν εἰ ἔπραξέ τι ὁ χορός· ἀπέσπασε γὰρ αὐτὴν τοῦ θρηνεῖν ἐμβαλὼν τὸ κατὰ τὴν Ἐριφύλην ⟨g: κατ' αὐτὴν L⟩ μύθευμα. ‖ 844 ἡ Ἐριφύλη δηλονότι. ὁ δὲ λόγος ἀποφαντικός ⟨g: ἀποφατικός L⟩· ὁ χορὸς δὲ ὡς πυνθανομένης ἐπάγει τὸ ναί. ‖ 846 οἶδ', οἶδ'· ἐφάνη: οἶδα ὅτι ἐδάμη· ἐφάνη γὰρ ὁ ἐπιμελούμενος τοῦ ἐν τῷ φόνῳ, τουτέστι ὁ ⟨om. Lv, ὅτι g⟩ τιμωρὸς τοῦ πατρός· ⟨Suidas μελέτωρ⟩ ἐμοὶ δὲ οὐδεὶς πάρεστιν ἀποθανόντος Ὀρέστου. ὁ μὲν οὖν χορὸς παρέβαλεν τὸν Ἀγα-

ἀμφὶ τὸν ἐν πένθει· ἐμοὶ δ' οὔτις ἔτ' ἔσθ'· ὃς γὰρ ἔτ' ἦν,
φροῦδος ἀναρπασθείς.
ΧΟ. δειλαία δειλαίων κυρεῖς. (στρ. β')
ΗΛ. κἀγὼ τοῦδ' ἴστωρ, ὑπερίστωρ,
πανσύρτῳ παμμήνῳ πολλῶν
δεινῶν στυγνῶν τ' αἰῶνι.
ΧΟ. εἴδομεν ἃ θροεῖς.
ΗΛ. μή μέ νυν μηκέτι

847 πένθει* L κεύθει Todtius philol. XXXII p. 258 | prius ἔτ' om. lg | γὰρ ἔτ' ἦν sep. versu L γὰρ ἔφυ Nauckius || 849—870 del. Schoellius | δειλάα δειλάων Dindorfius | δειλαίοισ g || 850 τοδ' g corr. g[1] | ἴστωρ Lg || 851 πανδύρτῳ Nauckius (eurip. stud. I p. 99) Bergkius | παλλύμῳ olim Meinekius philol. XIII p. 552 πανθρήνῳ Nauckius πάμμηνος Bergkius παμμήνων ASeyffertus progr. brandenb. 1868 p. 22 | πολλῶν del. Dindorfius. πανσύρτῳ παμπόλλων Wolffius || 852 δεινῶν olim del. Wolffius de Soph. schol. laur. p. 121 Schneidewinus | αἰῶνι Hermannus: ἀχέωων L ἀχε*ων E ἀχέων leg ἀχαίων p αἰκιῶν Musgravius ναίουσα Steinhartus progr. port. saecul. 1843 p. 7 ἀχέων αἰῶνι Dindorfius (Wolffius) ἔλαχ' αἰών Bergkius. θ' ἃ γ' αἰών Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 448 || 853 ἃ θροεῖς Seidlerus de vers. dochm. p. 409 ἃ θρηνεῖς Gernhardus Erfurdtius Froehlichius ἀνθρηνεῖς Martinus progr. posnan. 1858 p. 28 ἀθρήνεις Dindorfius αὐθαδεῖς Kolsterus philol. V p. 614 || 854 μέ νυν Brunckius: με νῦν Llpeg | μηκέτι L

μέμνονα τῷ Ἀμφιαράῳ, ἵνα Ἠλέκτρα εὔελπις εἴη περὶ τοῦ πατρός, ὅτι τεύξεται τιμῆς τινος ⟨Lv: πολλῆς g⟩, ἡ δέ φησιν ὅτι Ἀμφιάραος ὑπὸ τοῦ Ἀλκμαίωνος ἔτυχεν τιμωρίας. πάνυ δὲ περιπαθῶς τὸ πάθος τοῦ Ἀγαμέμνονος εἰς ἑαυτὴν μεταφέρει, διὰ τοῦ ⟨g: τὸ L⟩ 'ἐμοὶ δ' οὔτις'. ⟨διὰ — οὔτις om. v, addens ἴσως γὰρ ἂν δέδωκεν αὐτῇ κόσμους γυναικείους, οὓς αὕται φιλοῦσι καὶ ⟨ὥστε?⟩ αὐτῆς ἀλογεῖν τῆς ζωῆς. ἀλλ' ὅμως οὐδ' αὐτὴ τὸν μόρον ἀπέφυγεν· Ἀλκμαίων γὰρ ὁ τούτου υἱός, ταχθεὶς ὑπὸ τοῦ ἰδίου πατρὸς μὴ πρὶν πρὸς Θήβας ἐλθεῖν πρὶν ἂν ταύτης ἀφέληται τὴν ζωήν, ταύτην καὶ αὐτὸς ἀναιρεῖ, δίκην ἐπ' αὐτῷ δικάσας ⟨ἐκδικάσας?⟩ πασῶν δικαιοτάτην.⟩ || 846 φροντιστής, ᾧ ἐπιμελὲς γέγονεν μετελθεῖν τὸν τοῦ πατρὸς θάνατον. || 847 τὸν Ἀμφιάραον. || 849 δειλαία δειλαίων: καὶ τοῦτο εἶδος παραμυθίας, τὸ εἴς τι ⟨τὸ εἰς g ἔστι τὸ v⟩ παραχωρεῖν τοῖς λυπουμένοις καὶ συγχωρεῖν αὐτοῖς κλαίειν ὡς ἐπὶ ἀπαρηγορήτοις κακοῖς. || 850 κἀγὼ τοῦδ' ἴστωρ: κἀγὼ τούτου ἐπιστήμων εἰμὶ ὅτι ταλαίπωρός εἰμι ⟨Suidas ἴστωρ⟩. | κἀγὼ τοῦδ' ἴστωρ: οἶδα, φησίν, ὅτι δειλαία εἰμὶ αὐτῷ τούτῳ τῷ πανσύρτῳ τῶν πολλῶν ἀχέων. | πανσύρτῳ δέ, τῷ ⟨gv: om. L⟩ πάντα σύροντι τὰ κακά· ἢ πανσυρτῷ, τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ. παμμήνῳ δέ, τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. | δειλαία οὖν εἰμὶ ⟨v: οἷον add. L⟩ κατ' αὐτὸ τοῦτο, καθὸ πάντα τὰ ἄχη εἰς ἡμᾶς συνεσύρη καὶ διηνεκῆ παρέμεινεν ⟨Suidas ἴστωρ⟩. || 854 μή με νῦν μηκέτι: μηκέτι οὖν

	παραγάγῃς, ἵν' οὐ
ΧΟ.	*τί φῄς; [αὐδᾷς δὲ ποῖον;]*
ΗΛ.	*πάρεισιν ἐλπίδων ἔτι κοινοτόκων*
	εὐπατριδᾶν τ' ἀρωγαί.
ΧΟ.	*πᾶσιν θνατοῖς ἔφυ μόρος.* (ἀντ. β')
ΗΛ.	*ἦ καὶ χαλάργοις ἐν ἁμίλλαις*
	οὕτως, ὡς κείνῳ δυστάνῳ,
	τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;
ΧΟ.	*ἄσκοπος ἁ λώβα.*
ΗΛ.	*πῶς γὰρ οὔκ; εἰ ξένος*
	ἄτερ ἐμᾶν χερῶν
ΧΟ.	*παπαῖ.*
ΗΛ.	*κέκευθεν, οὔτε του τάφου ἀντιάσας*
	οὔτε γόων παρ' ἡμῶν.

855 *παραγάγησ* Lp *παράγησ* g | *οὐ* Llg || 856 *φῇς* p corr. p[1] *φής* Nauckius | *αὐδᾶς δὲ ποῖον* del. Triclinius *αὖ* Bergkius || 859 *εὐπατριδᾶν* LlpegΣ Suidas (*παραγάγῃς*): *εὐπατριδῶν* Suidae codices AC *εὐπατρίδων* Neuius | *τ'* om. Suidas | *ἀρωγαί* Σg: *ἀρωγοί* Llpe Suidas || 860 *πᾶσι* peg | *θνατοῖσιν* Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 14 || 861 *χαλάργοις* Dindorfius: *χαλαργοῖς* Llpeg | *ἀμιλλαῖσ* L corr. L *ἀμίλλαισ* g || 862 *ἐκείνῳ* e | *δυστήνω* pe || 863 *ὀλκοῖσ* eg | *ἐγκῦρσαι* g Hermannus: *ἐνκύσαι* L *ἐνκύρσαι* L[2]l *ἐγκύρσαι* pe || 864 *ἄσπετος* Musgravius || 865 *γὰρ* om. eg, add. e[2] | *οὔκ** L *οὔκ'* l *οὐκ* eg || 866 *ει* L corr. L[2] *εἰ* g | *ἄτερ* e | *ἐμῶν χειρῶν* g || 867 *παπαί* Llg corr. L[2]g[1] *παπαῖ φεῦ* Bergkius || 868 *τοῦ* L *τού* l om. g

με, φησί, παρηγορήσητε, ὅπου γε οὐ πάρεισιν αἱ τῶν ἐλπίδων ἀρωγαί, αἱ ἀπὸ τῶν ἀδελφῶν. || 855 *παρηγορήσῃς* ⟨Suidas *παραγάγῃς*⟩. || 856 *διὰ μέσου τὸ τί φῄς;* || 858 *κοινοτόκων δὲ τῶν ἀπ' ἀμφοῖν τῶν γονέων. διὰ δὲ τοῦ εὐπατριδᾶν ηὔξησε τοῦ πατρὸς τὸ ἐγκώμιον, οἷον εὐγενῶν καὶ γενναίων, οἷος ἦν καὶ Ὀρέστης, γεγονὼς ἐξ Ἀγαμέμνονος.* | *ἢ κοινοτόκων, τῶν ἀδελφικῶν, τῶν τοῦ αὐτοῦ πατρὸς κεκοινωνηκότων.* | *τινὲς τῶν πᾶσι κοινῶν.* || 861 *ἦ καὶ χαλαργοῖς: τοῖς λευκόποσιν ἢ ταῖς ταχείαις ἐν ταῖς χηλαῖς· χηλὰς δὲ ἀντὶ τῶν ὁπλῶν παρέλαβεν* ⟨Suidas *χηλαργοῖς*⟩. | *εἰπόντος δὲ τοῦ χοροῦ 'πᾶσι θνατοῖς* ⟨g: *θνητοῖς* Lv⟩ *ἔφυ μόρος' ἀντιτίθησιν ἡ Ἠλέκτρα· ἆρα* ⟨v: *ἄρα* L *ἆρ'* g⟩ *οὖν οὕτω πέπρωται τοῖς θνητοῖς τελευτᾶν ἐν ταῖς ἁμίλλαις ταῖς ἱππικαῖς;* || 863 *τμητοῖς δὲ ὁλκοῖς, τοῖς ἱμᾶσιν. ὁλκοὺς οὖν ἀντὶ τῶν ἱμάντων ἐν οἷς εἱλκύσθη* ⟨*Ὀρέστης πεσὼν ἐκ τοῦ ἅρματος* add. Suidas⟩. | *τμητοῖς λώροις* ⟨Suidas⟩. || 864 *ἀπροόρατος ὁ θάνατος* ⟨Suidas *ἄσκοπον*⟩. || 865 *πῶς γὰρ οὐκ; εἰ ξένος: τοῦ χοροῦ εἰπόντος* ⟨*ὅτι* add. g⟩ *ἀπροειδὴς ἡ κατὰ τὸν ἀγῶνα* ⟨*λώβη* add. g⟩ *ἡ Ἠλέκτρα πρὸς ἕτερον ἐπήγαγεν, ὅτι δὴ τέθνηκεν ἀπροσδοκήτως, ἐπ' ἀλλοδαπῆς τελευτῶν καὶ ἐμοῦ χωρίς.* || 868 *ἀντὶ τοῦ κρύπτεται.*

ΧΡ. ὑφ' ἡδονῆς τοι, φιλτάτη, διώκομαι
τὸ κόσμιον μεθεῖσα σὺν τάχει μολεῖν.
φέρω γὰρ ἡδονάς τε κἀνάπαυλαν ὧν
πάροιθεν εἶχες καὶ κατέστενες κακῶν.
ΗΛ. πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν;
ΧΡ. πάρεστ' Ὀρέστης ἡμίν, ἴσθι τοῦτ' ἐμοῦ
κλύουσ', ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.
ΗΛ. ἀλλ' ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς
σαυτῆς κακοῖσι κἀπὶ τοῖς ἐμοῖς γελᾷς;
ΧΡ. μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει
λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα νῷν.
ΗΛ. οἴμοι τάλαινα· καὶ τίνος βροτῶν λόγον
τόνδ' εἰσακούσασ' ὧδε πιστεύεις ἄγαν;
ΧΡ. ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλης, σαφῆ
σημεῖ' ἰδοῦσα, τῷδε πιστεύω λόγῳ.
ΗΛ. τίν', ὦ τάλαιν', ἰδοῦσα πίστιν; ἐς τί μοι
βλέψασα θάλπῃ τῷδ' ἀνηκέστῳ πυρί;

871 σοι Brunckius | διώκc*μαι L || 872 ποδοῖν Todtius philol. XXXII p. 258 || 873 εὐδίαν τε Heimsoethius kr. stud. I p. 160 || 874 κατέ^{σ}σταινεσ p κατέσθενεσ e || 876 ἴασιν l¹pe: ἴ*ασιν L (σ add. L² aut L³) ἰασιν g ἴασισ l Suidae cod. A | ἔτ' ἔστ' BThierschius progr. dortm. 1841 p. 6 Wolffius schol. laur. p. 206 Hennebergerus progr. meining. 1849 p. 14 Schneidewinus | ἰδεῖν L ἔτι superscr. L². ἴασις οὐκ ἔνεστ' ἔτι vindobonensis (ἰδεῖν δηλονότι add. m. 2) ς || 877 ἡμὶν e: ἥμιν Lp ἡμῖν le²g || 878 ἐναργὴς Wecklinus art. p. 71 || 879 ἦ p | καὶ σὺ τοῖς Wunderus progr. grimm. 1843 p. 19 || 880 σαυτοῖσ eg || 881 ὕβριν L (corr. L²) l || 882 ἐλλ' e, corr. e¹ | νῶιν g, in marg. γρ. νόει g³ νόει ς || 883 λόγων in litura e, corr. e² || 885 ἐμοῦ γε Erfurdtius | ἄλλησ Lg: ἄλλου L²l (ου l¹ in litura) pe ἄλλων Dindorfius || 887 ἔχουσα Nauckius (mél. gréco-rom. III p. 37) || 888 κλέψασα Ll | θάλπει vulgo | ἀνηφαίστῳ Bergkius Nauckius ἀνεικάστῳ Meinekius ad Oed. Col. p. 263

871 ὑφ' ἡδονῆς τοι: ἡ Χρυσόθεμις παραγέγονεν, τὰ ὑπὸ τοῦ Ὀρέστου ἐγκείμενα τῷ τάφῳ εὑροῦσα. τοῦτο τὸ πρόσωπον εἰσήγαγεν, ἵνα μὴ εἰς μακρὰν ⟨v: μακρὸν Lg⟩ ἡ ὀλόφυρσις Ἠλέκτρας γένηται. || 872 λείπει ἡ ὑπέρ· ὑπὲρ τοῦ σὺν τάχει μολεῖν. || 875 τῶν ἐμῶν σὺ πημάτων: τῶν νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπερ ἐστὶν ἄρηξις, τὰ δὲ θεραπεύεται παντελῶς, ὅπερ ἐστὶν ἴασις ⟨ἴασιν g⟩· κατ' οὐδένα οὖν τρόπον προκόπτει τὰ ἡμέτερα ἐπὶ τὸ βέλτιον ⟨Suidas ἴασις⟩. || 878 κλύουσ' ἐναργῶς: ἐπὶ τοῦ κλύουσα πρὸς ⟨L: om. gv⟩ βραχὺ διασταλτέον, ἵν' ᾖ· πάρεστ' ἐναργῶς, ἴσθι τοῦτο κλύουσα ἐμοῦ. || 888 βλέψασα ⟨κλέψασα L⟩ θάλπῃ: ἀντὶ τοῦ παρακόπτεις ⟨παρακόπτῃ

ΧΡ. πρός νυν θεῶν ἄκουσον, ὡς μαθοῦσά μου
τὸ λοιπὸν ἢ φρονοῦσαν ἢ μώραν λέγῃς.
ΗΛ. σὺ δ' οὖν λέγ', εἴ σοι τῷ λόγῳ τις ἡδονή.
ΧΡ. καὶ δὴ λέγω σοι πᾶν ὅσον κατειδόμην.
ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
ὁρῶ κολώνης ἐξ ἄκρας νεορρύτους
πηγὰς γάλακτος καὶ περιστεφῆ κύκλῳ
πάντων ὅσ' ἐστὶν ἀνθέων θήκην πατρός.
ἰδοῦσα δ' ἔσχον θαῦμα, καὶ περισκοπῶ
μή πού τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.
ὡς δ' ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον,
τύμβου προσεῖρπον ἆσσον· ἐσχάτης δ' ὁρῶ
πυρᾶς νεώρη βόστρυχον τετμημένον·
κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
ψυχῇ σύνηθες ὄμμα, φιλτάτου βροτῶν
πάντων Ὀρέστου τοῦθ' ὁρᾶν τεκμήριον·

889 πρός νυν Dindorfius: πρὸσ νῦν Llpe. θεῶν νῦν g | μαθοῦσ' ἐμὲ Froehlichius μαθοῦσά με Wecklinus art. p. 36 || 890 λοιπὸν e: λοιπόν μ' Llg λοιπόν μ' El¹g¹ λοιπὸν ἵν' p | μώραν e² Neuius: μωρὰν Lpe μῶραν lg | λέγησ Epe: λέγοισ L λέγεισ superscr. οι l λέγεισ g || 891 σύ γ' g | τῶν λόγων Reiskius Froehlichius | τίσ lg || 892 del. Schoellius | κατείδομεν Nauckius || 894 ὁρῶι L || 896 ἐστιν L ἐστὶν superscripto εισιν E ἔστιν l || 898 πού τίς lg | ἐγχρίμπτῃ le: ἐγχρίπτηι L ἐγχρίπτῃ p ἐγχρίπτει g ἐγχρίμπτει Nauckius. ἐγχρίπτοι βροτός vindobonensis (γρ. ἐγχρι^π βροτῶν m. 2) || 899 ἐ γαλήνῃ e || 900 τύμβον g | ἐσχάτη superscr. σ e ἐσχάτοισ g. ἐσχάτῃ — πυρᾷ Schaeferus || 901 νεώρη Dindorfius: νεωρῆ Llpeg || 902 δ' κἐυθὺσ g | μου L corr. E || 903 ψυχῆι Epe: ψυχῆσ Llg | ὄνομα olim Hermannus ad Eur. Hec. p. 123 ed. 1 ὄμμα suspectum Nauckio || 904 τοῦτο δρᾶν θελκτήριον Burgesius ad Eur. Troad. p. XXIII

Suidas⟩ τὰς φρένας ὡς ἐν πυρετῷ, ἀνηκέστῳ δὲ πυρί ⟨Suidas ἀνήκεστον, addens ἀνελπίστῳ προσδοκίᾳ⟩, ὡς εἰ ἔλεγεν ἀνιάτῳ ἐλπίδι· ἀνέλπιστον γὰρ τὸ παραγενέσθαι Ὀρέστην ἤδη ἀπολωλότα. | θερμαίνεις τῇ χαρᾷ. || 889 ⟨ἄκουσόν μου, ἵνα με ἐντεῦθεν ἢ μωρὰν ἢ φρόνιμον λέγῃς, ὡς μαθοῦσα καὶ ἀκούσασά μου τὸ λεῖπον τοῦ λόγου. add. E⟩ || 893 τὸν ἐκ πολλοῦ ᾠκοδομημένον. || 894 * Eustathius ad Hom. *Β* 811 p. 351 ταὐτὸν δὲ πάντως κολωνὸν κἀνταῦθα καὶ κολώνην εἰπεῖν. νικᾷ δὲ ὅμως τὸ Ὁμηρικόν, ᾧ καὶ Σοφοκλῆς ἀκολουθῶν κολώνην ἄκραν τάφου ἔφη. * || 895 πολὺ γάλα, ὡς τὸ 'δακρύων πηγὰς' ⟨Antig. 803⟩ ἀντὶ τοῦ πολλὰ δάκρυα. || 896 τὴν σορὸν λέγει, ἔνθα τὸ λείψανον ἐτέθη. || 901 τὸν νεωστὶ ἠρτημένον· ἢ ἐκ νέου τινὸς καὶ ὥραν ἔχοντος νέαν ⟨Suidas⟩. || 903 ὅραμα ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν.

καὶ χερσὶ βαστάσασα δυσφημῶ μὲν οὔ,
χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων.
καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι
μή του τόδ' ἀγλάισμα πλὴν κείνου μολεῖν.
τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;
κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι,
οὐδ' αὖ σύ· πῶς γάρ; ᾗ γε μηδὲ πρὸς θεοὺς
ἔξεστ' ἀκλαύστῳ τῆσδ' ἀποστῆναι στέγης.
ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς οὔθ' ὁ νοῦς φιλεῖ
τοιαῦτα πράσσειν οὔτε δρῶσ' ἐλάνθανεν·
ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια.
ἀλλ', ὦ φίλη, θάρσυνε. τοῖς αὐτοῖσί τοι
οὐχ αὑτὸς αἰεὶ δαιμόνων παραστατεῖ.
νῷν ἦν τὰ πρόσθε στυγνός· ἡ δὲ νῦν ἴσως
πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.
ΗΛ. φεῦ, τῆς ἀνοίας ὥς σ' ἐποικτείρω πάλαι.
ΧΡ. τί δ' ἔστιν; οὐ πρὸς ἡδονὴν λέγω τάδε;
ΗΛ. οὐκ οἶσθ' ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρῃ.
ΧΡ. πῶς δ' οὐκ ἐγὼ κάτοιδ' ἅ γ' εἶδον ἐμφανῶς;
ΗΛ. τέθνηκεν, ὦ τάλαινα, τἀκείνου δέ σοι

905 βαστάσασ L corr. E βαστάσα p || 907 τὸ δ' p || 908 που g | μ' ἑλεῖν Reiskius πέλον vel πέλειν Herwerdenus ad Oed. Reg. p. 200 || 909—915 interpolatori tribuit Schoellius || 910 ταῦτ' vindobonensis, in marg. γρ. τοῦτ' ἐπίσταμαι || 911 μηδὲ lpg || 912 ἀκλαύστωσ g ἀκλαύτῳ Dindorfius || 914 ἐλάνθαν (i. ἐλάνθανεν) L ἐλάνθαν' ἂν Heathius ἂν ἔλαθεν ἂν Elmsleius ad Eur. Med. 416 ἔληθεν ἂν Meinekius ad Oed. Col. p. 264 || 915 ἔστ' om. eg ἔστω add. e[2] | γρ. τἀγλαίσματα E τἀπιτύμβια Dindorfius || 916 ἄγ', ὦ Valckenarius ad Eur. Hipp. 288 Froehlichius || 917 οὐχ ὡὑτὸς Brunckius (αὑτὸς Schaeferus): οὐκ αὐτὸσ Llpeg | ἀεὶ g | δαιμώνων l corr. l[1] || 918 νῶιν L Meinekius ad Oed. Col. p. 264: νῶιν δ' lpeg | πρόσθεν pe | ἡ δὲ L corr. E ἥδε l || 919 κύριοσ g || 920 φ L φευ E | ἀνοίας. ὥς Elmsleius | ὥσ' ἐποικτείρω e || 922. 923 del. Schoellius | οὐκ' οἶδ' l | ὅποι γ' ἦσ g ὃ γηθεῖς Iacobsius anim. anth. gr. III, 2 p. 22 ὅποι στῇς Wolffius ὅπῃ φῄς CHartungus quaest. mosch. p. 51 ὃ ποιεῖς Wecklinus art. p. 22 | ὅπη e | φερηι L ε rescripsit et accentum add. E γρ. ἔφυσ El || 924 τὰ 'κείνου l τἀκ κείνου Canterus nov. lect. IV, 29 | τέ Wunderus

909 τὸ μὲν ἀπὸ τῆς ὄψεως τοῦ βοστρύχου κινεῖσθαι ἐπὶ τὴν ἀλήθειαν γελοῖον· πιθανῶς οὖν ἐπάγει, ὅτι οὐδενὶ ἄλλῳ ἢ τῷ πάνυ συνημμένῳ κατὰ γένος τὰ τοιαῦτα προσήκει. | τὸ ἀποκείρασθαι τὰς κόμας δηλονότι. || 915 τὰ ἐπὶ τῇ τιμῇ γινόμενα τοῦ πατρός ⟨Suidas⟩. || 919 ἐπιτευκτικὴ καὶ κυρία. | ἐπιτυχία ⟨Suidas⟩.

σωτῆρι' ἔρρει· μηδὲν ἐς κεῖνόν γ' ὅρα.
ΧΡ. οἴμοι τάλαινα· τοῦ τάδ' ἤκουσας βροτῶν;
ΗΛ. τοῦ πλησίον παρόντος, ἡνίκ' ὤλλυτο.
ΧΡ. καὶ ποῦ 'στιν οὗτος; θαῦμά τοί μ' ὑπέρχεται.
ΗΛ. κατ' οἶκον ἡδὺς οὐδὲ μητρὶ δυσχερής.
ΧΡ. οἴμοι τάλαινα· τοῦ γὰρ ἀνθρώπων ποτ' ἦν
τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα;
ΗΛ. οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος
μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναί τινά.
ΧΡ. ὢ δυστυχής· ἐγὼ δὲ σὺν χαρᾷ λόγους
τοιούσδ' ἔχουσ' ἔσπευδον, οὐκ εἰδυῖ' ἄρα
ἵν' ἦμεν ἄτης· ἀλλὰ νῦν, ὅθ' ἱκόμην,
τά τ' ὄντα πρόσθεν ἄλλα θ' εὑρίσκω κακά.
ΗΛ. οὕτως ἔχει σοι ταῦτ'· ἐὰν δέ μοι πίθῃ,
τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.
ΧΡ. ἦ τοὺς θανόντας ἐξαναστήσω ποτέ;
ΗΛ. οὐκ ἔς τόδ' εἶπον· οὐ γὰρ ὧδ' ἄφρων ἔφυν.
ΧΡ. τί γὰρ κελεύεις ὧν ἐγὼ φερέγγυος;
ΗΛ. τλῆναί σε δρῶσαν ἃν ἐγὼ παραινέσω.

925 *μηκέτ' ἐς* Nauckius | *ὁρῶ* l corr. l[1] *ὁρᾶ* g corr. g[1] || 927 *ὤλοιτο* g || 928 *ποὔστιν* l || 929 *ἐγγύς* Todtius philol. XXXII p. 258 | *οὔτε* Purgoldus obs. crit. p. 137 | *γρ. δυσμενὴσ* E || 932 *οἴ μοι* l || 934 *ὦ* e[1]g: *ὢ* Llpe | *ἐγὼ γὰρ* p | *σὺν* in litura quattuor vel quinque litterarum L || 935 **ούσδ'* L *τοιοῦσδ'* E || 937 *ἀλλὰ δ'* g || 938 *δ' ἐμοὶ* Brunckius | *πίθῃ* ς: *πιθῆι* Llpe *πιθῆσ* g *γρ. πιθῆ* g[2] || 939—941 del. Schenkelius ztschr. f. oest. gymn. 1869 p. 539 | *λύσεις βάρος* suspecta Nauckio (*ἕξεις ἄκος*?) || 940 ante 939 collocandum suspicatur deleto 941 Nauckius, 940. 941 del. Morstadtius p. 27 Schoellius | *ἦ* L corr. E | *πάλιν* Wecklinus art. p. 36 || 941 *ἐς τόδ'* Hauptius ind. lect. berol. 1865/6 p. 5: *ἔσθ' ὅδ'* Llg *ἔσθ' ὅ γ'* Epe vindobonensis (*θ' ὅ γ'* in litura) *ἔσθ' ὃ δὴ* Bergkius *οἶσθ' ὅ γ'* Madvigius advers. crit. I p. 219 | *ἄφρον* e || 942 *τί** l || 943 *ἂν* Ll *ἅ* e *ἅ γ'* g *ἅ σ'* vindobonensis

929. *ὅ ἐστιν οὐ κατὰ τοῦτο τῇ μητρὶ δυσχερὴς ὀφθεὶς καὶ διὰ τῆς ἀγγελίας λυπήσας αὐτήν.* ⟨cf. Evstathivs ad Hom. *Z* 333 p. 645 *ἰστέον δὲ ὅτι τε τὸ 'οὐδ' ὑπὲρ αἶσαν' ταὐτόν ἐστι τῷ 'κατ' αἶσαν', διὸ καὶ ἐπιμονὴν ὁ λόγος ἔχει τὴν κατ' ἦθος ἀληθευτικήν, καὶ ὅτι ὅμοιον καὶ παρὰ τῷ φιλομήρῳ Σοφοκλεῖ τὸ 'γνωτὰ κοὐκ ἄγνωτά μοι'* ⟨Oed. R. 58⟩ *καὶ τὸ ἡδὺς οὐδὲ μητρὶ δυσχερής.*⟩ || 933 *τοῦ Ὀρέστου μνημόσυνα.* || 942 *ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλής εἰμι* ⟨*καὶ βεβαιωτής* add. Suidas *φερέγγυος*⟩. | *φερέγγυος λέγεται ὁ ἐκδεξάμενός τι καὶ δυνάμενος ἀποτῖσαι. οἷον ἀξιόχρεως, δυναμένη ἀναδέξασθαι* ⟨Lg: *ἀποδέξασθαι* v. *τὴν ἐγχείρησιν* add. g et Suidas⟩.

ΧΡ. ἀλλ' εἴ τις ὠφέλειά γ', οὐκ ἀπώσομαι.
ΗΛ. ὅρα, πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ.
ΧΡ. ὁρῶ. ξυνοίσω πᾶν ὅσονπερ ἂν σθένω.
ΗΛ. ἄκουε δή νυν ᾗ βεβούλευμαι ποεῖν.
παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων
ὡς οὔτις ἡμῖν ἐστιν, ἀλλ' Ἅιδης λαβὼν
ἀπεστέρηκε καὶ μόνα λελείμμεθον.
ἐγὼ δ' ἕως μὲν τὸν κασίγνητον βίῳ
θάλλοντ' ἔτ' εἰσήκουον, εἶχον ἐλπίδας
φόνου ποτ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρός·
νῦν δ' ἡνίκ' οὐκέτ' ἔστιν, εἰς σὲ δὴ βλέπω,
ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου
ξὺν τῇδ' ἀδελφῇ μὴ κατοκνήσεις κτανεῖν
Αἴγισθον· οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι.
ποῖ γὰρ μενεῖς ῥᾴθυμος εἰς τίν' ἐλπίδων
βλέψασ' ἔτ' ὀρθήν; ᾗ πάρεστι μὲν στένειν
πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ,

944 εἴ in litura (restat ῎) L ὤν Wecklinus art. p. 7 | ὠφέλει', ἐγὼ Bergkius | οὔ σ' Morstadtius || 945. 946. del. Morstadtius | ὅρᾳ l | πόνουσ eraso σ L || 947 δή νυν Blomfieldus ad Eur. Iph. Aul. 1009: δὴ νῦν Llpeg | ᾗ — μὲν del. Nauckius | ποεῖν Lg: γρ. τελεῖν E τελεῖν lpe τελεῖν superscripto ποιεῖν vindobonensis || 948 παρουσία ς | καὶ σύ που l[1]peg: καὶ πού σοι Ll καὶ ποῦ σοι E γρ. καὶ ποῦ σοι minio scr. in marg. p γρ. καὶ σύ που φίλων E καί που σὺ vindobonensis || 950 ***μμεθον L corr. E λελείμμεθα ς Elmsleius ad Arist. Ach. 733. Eur. Iph. T. 777. mus. crit. II p. 294 || 951 ὥσ g corr. g[1] | βιοῦν FWSchmidtius progr. herford. 1859 p. 5 || 952 θάλλοντ' ἔτ' Reiskius Musgravius: θάλλοντά τ' Lpg θάλοντά τ' (οντά in litura) l θάλλοντ' e, τά superscr. e[2] θάλλοντα vindobonensis θάλλοντά γ' iuntina || 953 φόνου pe || 954. 955 in litura p | οὐκέτ' ἐστὶν Lg οὐκ' ἔστιν ἔτι l | ἐς Dindorfius || 956 σὺν p | τῇδ', ἀδελφή Meinekius ad Oed. Col. p. 264 | κατοκνήσῃισ Llg || 957—1000 interpolatori tribuit Schoellius. 957 affert schol. Eur. Hec. 570, del. Wunderus, ante 956 collocat Bergkius n. jahrb. f. philol. XCVII p. 378 || 958 ἐς Brunckius | ἐλπίδα superscr. ων vindobonensis || 960 πατρῴου πλούτου g | ἐστερημένην Elmsleius ad Eur. Med. 1207

944 τοῦτο τῷ προτέρῳ ⟨940⟩ ὅμοιον ʽἢ τοὺς θανόντας ἐξαναστήσω ποτέ;ʼ || 945 ἀντὶ τοῦ ἐπιτυγχάνεται ⟨Suidas εὐτυχεῖ⟩. || 946 συμπονήσω. | τοῦτο συνῳδὸν τῷ ⟨942⟩ ʽτί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;ʼ || 948 ⟨ἤγουν καὶ πόθεν σοι ἔσονται φίλοι. add. E⟩. || 951 ⟨ὡς τὸ ʽἄνδρα μοι ἔννεπε Μοῦσαʼ ⟨Hom. α 1⟩, ἤγουν περὶ τοῦ ἀνδρός. add. v⟩ || 953 ἔκδικον ⟨Suidas⟩. || 958 ποῖ: ἀντὶ τοῦ εἰς τίνα χρόνον ⟨Suidas⟩. ⟨τουτέστιν ἕως πότε ῥᾳθυμεῖς; add. v⟩

πάρεστι δ' ἀλγεῖν ἐς τοσόνδε τοῦ χρόνου
ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε.
καὶ τῶνδε μέντοι μηκέτ' ἐλπίσῃς ὅπως
τεύξῃ ποτ'. οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνὴρ
Αἴγισθος ὥστε σόν ποτ' ἢ κἀμὸν γένος
βλαστεῖν ἐᾶσαι, πημονὴν αὑτῷ σαφῆ.
ἀλλ' ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασιν,
πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω
θανόντος οἴσῃ τοῦ κασιγνήτου θ' ἅμα·
ἔπειτα δ', ὥσπερ ἐξέφυς, ἐλευθέρα
καλῇ τὸ λοιπὸν καὶ γάμων ἐπαξίων
τεύξῃ· φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.
λόγων γε μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην
σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσ' ἐμοί;
τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν
τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται·

961 *πάρεστιν* L(*πάρεστι δ'* corr. L²)l || 962 *ἄλλεκτρα* p || 963 *μέν μοι* Morstadtius p. 28 | *μηκέτι* L *μηκἔτι* l *μη**** e, corr. e¹ aut e² || 964 *τεύξει* vulgo | *πότ'* eg | *ἄβουλος ἔσι'* lpe || 965 *τοσόν* g || 966 *πημονεῖν* g corr. g¹ | *αὑτῶι* L²pe: *αὐτῶι* Llg || 967 *βουλεύμασιν* L(eraso *ν*)lg: *βουλεύμασι* pe || 968 *κακῶς* Iul. Bintzius || 969 *κεύθοντος* (vel *ναίοντος*) Meinekius ad Oed. Col. p. 265 Wecklinus art. p. 27 | *οἴσει* vulgo || 971 *καλεῖ* vulgo | *τολοιπὸν* Lp || 972 *τεύξει* vulgo || 973—985 del. Todtius philol. XXXII p. 262 | *λόγων* Bothius Dobraeus adv. II p. 50: *λόγωι* Llpeg | *γε* om. e, add. e² || 974 *ταυτῆ* g | *κἀμ*ᵒⁱ* p | *πεισθεῖσά μοι* vindobonensis (eraso ´) Erfurdtius || 976 *τοῖσδ'* g | *δεξιώ*σεται* p

964 *οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνήρ*: *προειποῦσα τὰ δεινὰ τὸ χαλεπώτερον ἐπιφέρει, ὡς οὐδὲ μεταβολῆς τυχεῖν ἐλπὶς ἔνεστιν.* || 975 *τίς γάρ ποτ' ἀστῶν*: *ὅρα ἐν τούτῳ τῷ λόγῳ τὰς ἐπιχειρήσεις τῆς Ἠλέκτρας, ὅτι πάντα τέθεικεν τὰ ἀγαθὰ ἅπερ αὐταῖς παρέσται ἀνελούσαις τὸν Αἴγισθον, τὰ δὲ ἕτερα ὑπεξήρηκεν ὁποῖα πείσονται ἁλοῦσαι. καίτοι ἦν κατὰ τὸ πάθος τῆς Ἠλέκτρας κἀκεῖνα προσθεῖναι, ὅτι καλόν μοι ἀποθανεῖν οὕτω δυστυχούσῃ, ὁποῖα καὶ πρόσθεν ἔλεγεν* ⟨821⟩ '*ὡς χάρις μὲν ἂν θάνω, λύπη δ' ἂν ζῶ*'· *ἀλλ' ᾔδει τὸ περίφοβον τῆς Χρυσοθέμιδος, ὥστε ἑκοῦσα τοὺς δειλοτέρους τῶν λόγων ὑπεξεῖλεν, ὥστε μηδὲ εἰς ἔννοιαν τῶν κινδύνων ἐκείνην καταστῆσαι.* ⟨cf. Apsines art. rhet. 12 p. 708 Ald. *ἔστι δὲ ἠθοποιία λόγος περιτιθέμενος προσώποις ὑποῦσιν. ... κέχρηται καὶ Σοφοκλῆς ἐν Ἠλέκτρᾳ τὴν ἀδελφὴν αὐτῆς τὸν Αἴγισθον καὶ τὴν μητέρα ἀποκτεῖναι κελευούσῃ [καὶ τὴν Κλυταιμνήστραν], πειρᾶται δὲ αὐτὴν ἀναπείθειν ἐξ ἠθοποιίας· οἱ γὰρ βλέποντες ἡμᾶς, φησί, τὰ καὶ τὰ ἐροῦσι.*⟩

ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι,
ὣ τὸν πατρῷον οἶκον ἐξεσωσάτην,
ὣ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ
ψυχῆς ἀφειδήσαντε προυστήτην φόνου·
τούτω φιλεῖν χρή, τώδε χρὴ πάντας σέβειν·
τώδ' ἔν θ' ἑορταῖς ἔν τε πανδήμῳ πόλει
τιμᾶν ἅπαντας οὕνεκ' ἀνδρείας χρεών.
τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ βροτῶν,
ζώσαιν θανούσαιν θ' ὥστε μὴ 'κλιπεῖν κλέος.
ἀλλ', ὦ φίλη, πείσθητι, συμπόνει πατρί,
σύγκαμν' ἀδελφῷ, παῦσον ἐκ κακῶν ἐμέ,
παῦσον δὲ σαυτήν, τοῦτο γιγνώσκουσ', ὅτι
ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.
ΧΟ. ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία
καὶ τῷ λέγοντι καὶ κλύοντι σύμμαχος.
ΧΡ. καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν
ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν

977 δε τὼ κασιγνήτω p in litura | ὡιλοι g corr. g[1] || 978 τῶν πατρώιων L corr. E | ἐξεσωσάτην l || 979 τοῖσ ἐχθροῖσιν e | βεβηκόσι e (ε add. e[2]) g | τότε, Morstadtius p. 29 || 980 ἀκηδήσαντε Wecklinus art. p. 50 || 981 τῶδε L corr. E | χρῆν*** L corr. E χρῆ l || 982 ἔν****θ' l || 983 ὄυνεκ' g εἵνεκ' Nauckius | χρέον l corr. l[1] χρεῶν eraso accentu e || 984 τοι om. p | νῶ'ν l(ιν add. l[1]) νῶ g | πᾶσι*σ L corr. E || 985 μη 'κλιπεῖν L γρ. μοι λιπεῖν E μὴ λιπεῖν pe(ἐκ add. e[2]) || 986 'πίσθητι L | συμμάχει Nauckius || 987 ἀδελφῇ ς | λῦσον Nauckius | ἐκ om. g || 988 λῦσον Nauckius | γινώσκουσ' Llpg || 989 affert Ioannes Stobaeus floril. 17, 1 | πεφυκόσι g || 990 προμηθεια l corr. l[1] προθυμία ge(ἡ προμήθεια superscr. e[2]) || 991 καὶ τῶι (del. E) κλύοντι Llpg || 993 om. L add. E | ἐσώιζετ' Ll: ἐσώζετ' peg

977 ἴδεσθε τώδε: ἐπὶ τῶν θηλυκῶν τοῖς ἀρσενικοῖς ἄρθροις κέχρηται, ὅπερ σύνηθες τοῖς ⟨g: om. Lv⟩ Ἀττικοῖς· τὼ χεῖρε γάρ φασιν. καὶ Ὅμηρος ⟨E 778⟩ 'τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι'. ⟨cf. schol. Oed. Col. 1676.⟩ | τώδε ἀντὶ τοῦ τάσδε. || 978 ὢ ἀντὶ τοῦ αἵτινες. || 980 προέστησαν περὶ τοῦ φόνου τῶν ἐχθρῶν. || 981 ἀντὶ τοῦ ταύτας. || 984 ⟨τοιαῦτα πᾶς τις ἐρεῖ: ἤτοι οὕτως ἐπαινέσεται ἡμᾶς, ὥστε μὴ λιπεῖν ἡμῖν τὸ κλέος καὶ ζώσαις καὶ θανούσαις. add. E⟩ || 990 ἐν τοῖς τοιούτοις ἐστίν: ὁ χορὸς ὑπερτεθαυμακὼς τὸ τολμηρὸν τῆς Ἠλέκτρας φησὶν ὅτι μετὰ προγνώσεως καὶ ἀσφαλείας τὰ τοιαῦτα δεῖ καὶ λέγειν καὶ ἀκούειν. || 992 εἰ ἐφρόνει. || 993 ἐσώζετ' ἄν: [φησὶ τὴν εὐλάβειαν] ⟨add. L, om. gv⟩ οὐ σώζει, φησί, τὴν εὐλάβειαν, ἀλλ' ἔστι θρασεῖα καὶ ῥιψοκίνδυνος. | * Eustathius ad Hom. Θ 9 p. 694

τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται.
ποῖ γάρ ποτ' ἐμβλέψασα τοιοῦτον θράσος
αὐτή θ' ὁπλίζῃ κἄμ' ὑπηρετεῖν καλεῖς;
οὐκ εἰσορᾷς; γυνὴ μὲν οὐδ' ἀνὴρ ἔφυς,
σθένεις δ' ἔλασσον τῶν ἐναντίων χερί.
δαίμων δὲ τοῖς μὲν εὐτυχὴς καθ' ἡμέραν,
ἡμῖν δ' ἀπορρεῖ κἀπὶ μηδὲν ἔρχεται.
τίς οὖν τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν
ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;
ὅρα κακῶς πράσσοντε μὴ μείζω κακὰ
κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
λύει γὰρ ἡμᾶς οὐδὲν οὐδ' ἐπωφελεῖ
βάξιν καλὴν λαβόντε δυσκλεῶς θανεῖν.
† οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν

994 σώζεται pe¹g σώζετει e || 995 ἐμβλέψασατ eraso τ L ἐκβλέψασα l corr. l¹. ποτε βλέψασα ς Herwerdenus anal. crit. p. 12 || 996 ὁπλίζει vulgo | κάμ' p || 997 οὐκ ἀνὴρ g || 998 ἔλασσον Brunckius: ἔλαττον Llpeg | χεροῖν e² || 999 εὐτυχὴσ Epg: εὐτυχεῖ L εὐτυχεῖ* l(˜ ex ʹ fecit l¹) εὐτυχ** e εὐτυχοῖ e² || 1000 ἀπορεῖ g corr. g³ || 1001. 1002 del. Morstadtius p. 29 || 1002 εὔλυτοσ g | ἐξαπαλλαχθήσεται e || 1003 πάσχοντε schol. Oed. Col. 1676 || 1004 κτησώμεθα g corr. g¹ | α e, εἴ corr. e¹ || 1005. 1006 del. Ahrensius progr. coburg. 1859 p. 12, 1005—1008 Schoellius Todtius philol. XXXII p. 263 | λύσει Erfurdtius | γὰρ* L | ἡμῖν Elmsleius ad Eur. Med. 553 || 1006 δυστυχῶς Morstadtius δυσκλεῶς suspectum Nauckio || 1007. 1008 del. Nauckius, post 822 collocat Wolffius | 1007 om. Ll add. El¹ | οὐδ' αὖ Michaelis | ὅταν καλὸν Purgoldus obs. crit. p. 138

οὕτω καὶ τὸ σώζειν σώζεσθαι, οἷον ἐσώζετο τὴν εὐλάβειαν, ἤγουν εὐλαβεῖτο. * || 995 τοιοῦτον θράσος αὐτή θ' ὁπλίζῃ: λίαν ἐμφαντικῶς ⟨g: ἐμφατικῶς L⟩ τῷ θράσει φησὶν αὐτὴν ὁπλίζεσθαι, ὡς μηδὲν ἀμυντήριον αὐτὴν ἔχουσαν ἢ μόνον θράσος. || 997 γυνὴ μὲν οὐδ' ἀνήρ: ταῦτα πάντα ὅμοιά ἐστι τοῖς ἐν Ἀντιγόνῃ ⟨61 seq.⟩· εἴ τις παραβάλοι, εἴσεται τοῖς αὐτοῖς διανοήμασι χρησάμενον Σοφοκλέα. || 998 τοῦτο δεύτερον κεφάλαιον. || 999 δαίμων δέ: τοῦτο τρίτον κεφάλαιον καὶ ἀναγκαιότερον, ὡς οὐδὲ ἐκ παραδόξου κατορθῶσαι ἡμᾶς τὴν ἐπιχείρησιν εἰκός, τῆς τύχης μὴ συλλαμβανομένης. || 1000 ἐλαττοῦται, μαραίνεται. || 1005 λύει γὰρ ἡμᾶς οὐδέν: οὐ λυσιτελεῖ γὰρ ἡμῖν, φησίν, οὐκ ⟨οὐδὲ g⟩ ἀπαλλάσσει τῶν κακῶν. ⟨Svidas λύει· ἀντὶ τοῦ λυσιτελεῖ.⟩ | ἀντὶ τοῦ οὐδὲν ἡμᾶς ἐκλύσεται. || 1006 δυσκλεῶς θανεῖν: ἐνταῦθα δηλοῖ τὸ μετ' αἰσχρᾶς τιμωρίας ἀποθανεῖν. καὶ Ὅμηρος ⟨χ 462⟩ 'μὴ μὲν ⟨g: με Lv⟩ δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην'. || 1007 ἀλλ' ὅταν θανεῖν χρήζων: ὅρα ὅτι τοῦτο δηλοῖ τὸ δυσκλεῶς. | λείπει τὸ καλῶς.

χρήζων τις εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν.
ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
ἡμᾶς τ' ὀλέσθαι κἀξερημῶσαι γένος,
κατάσχες ὀργήν. καὶ τὰ μὲν λελεγμένα
ἄρρητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι,
αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτέ,
σθένουσα μηδὲν τοῖς κρατοῦσιν εἰκαθεῖν.
ΧΟ. πείθου. προνοίας οὐδὲν ἀνθρώποις ἔφυ
κέρδος λαβεῖν ἄμεινον οὐδὲ νόῦ σοφοῦ.
ΗΛ. ἀπροσδόκητον οὐδὲν εἴρηκας· καλῶς δ'
ᾔδη σ' ἀπορρίψουσαν ἀπηγγελλόμην.
ἀλλ' αὐτόχειρί μοι μόνῃ τε δραστέον
τοὔργον τόδ'· οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν.
ΧΡ. φεῦ.

1008 χρήζ.. duabus litteris elutis L χρήζων Ep χρήζηι lg | τις εὐκλεῶς vel καλῶς τις Loehbachius quaest. soph. dec. p. 29 | μηδὲν g (ν add. g[1]) | ἔχηι Elpe[2]: ἔχει Lg ἔχ* e | καλῶς Heimsoethius krit. stud. I p. 322 || 1009 ἀλλ' om. g add. g[2] | πανωλέ***** e, corr. e[2] | το πᾶν e || 1011 ὀρμήν l corr. l[1] || 1012 ἄρρηκτ' l ἄρητ' e || 1013—1016 del. Schoellius | αὐτῆ L | νοῦν*σχὲσ g νοῦν σχοῦσ' Morstadtius || 1014 εἰκαθεῖν Elmsleius ad Eur. Med. 186: εἰκάθειν Llpeg Suidas εἴκαθε Morstadtius p. 32 || 1015 πιθοῦ ς | ἀνθρώποις ἔφυ Llpeg Ioannes Stobaeus flor. 3, 2: ἔφυ ⟨ἐξέφυ Hermannus⟩ βροτοῖς Suidas || 1017 δ' sequenti versui tribuunt Llg || 1018 ᾔδη Brunckius: ἤιδειν Lpeg ἤιδην l ἤδη Thomae Magistri duo codices | ἅ'πηγγελλόμην Lpe[1] ἅ'πηγγελόμην leg (om. ') ἅ 'πηγγειλάμην Thomas Magister || 1019 γρ. ἀλλ' οὐδὲν ἧσσόν μοι E | αὐτοχειρί g || 1020 τοὖργον lpe(corr. e[2])g || 1021 φεῦ l φεῦ ἰὼ ἰὼ. add. l[1]

1008 εἶτα μηδὲ τοῦτ' ἔχῃ: οὐ τὸ τοῦ θανάτου δεινόν ἐστιν, ἀλλ' ὅταν ἐπιθυμῶν τις ἀποθανεῖν, ὥστε τὰς παρούσας ⟨πάσας v⟩ κολάσεις ἐκφυγεῖν, τότε μηδὲ τούτου τύχῃ. τοιαῦτα οὖν πεισόμεθα, ὧν ὁ θάνατος αἱρετώτερος. || 1013 ἐν ὑπερβατῷ. | * ETYMOL. VINDOB. A 163 ἀλλὰ σύνδεσμος λαμβάνεται καὶ ἀντὶ τοῦ κἄν. Σοφοκλῆς 'αὐτὴ — ποτέ'. ⟨conf. Bekkeri anecd. p. 376.⟩ * || 1014 * SVIDAS εἰκάθειν· ὑποχωρεῖν, ὑπείκειν. Σοφοκλῆς 'ἀλλὰ — εἰκάθειν'. * || 1015 * SVIDAS πρόνοια· πρόγνωσις. Σοφοκλῆς 'πείθου — σοφοῦ'. * || 1018 ἃ 'πηγγελλόμην: ⟨ἃ περικέκληκα g⟩ ἀντὶ τοῦ ἃ ἠξίουν· τὸ δὲ παρακαλεῖν ἀπαγγέλλειν ⟨ἐπαγγέλλειν Brunckius⟩ φησίν. ⟨cf. THOMAS MAGISTER p. 143 R. ἐπαγγέλλομαι δὲ ὡς ἐπιπολὺ μὲν τὸ ὑπισχνοῦμαι, σπανίως δὲ καὶ τὸ αἰτῶ· Σοφοκλῆς ἐν Ἠλέκτρᾳ 'καλῶς — ἃ 'πηγγειλάμην'.⟩ || 1019 παρατήρει κἀνθάδε τὴν εὐτολμίαν, ὡς καὶ ἐν Ἀντιγόνῃ ⟨71⟩.

εἴϑ' ὤφελες τοιάδε τὴν γνώμην πατρὸς
ϑνῄσκοντος εἶναι· πᾶν γὰρ ἂν κατειργάσω.
ΗΛ. ἀλλ' ἦν φύσιν γε, τὸν δὲ νοῦν ἥσσων τότε.
ΧΡ. ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.
ΗΛ. ὡς οὐχὶ συνδράσουσα νουϑετεῖς τάδε.
ΧΡ. εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράσσειν κακῶς.
ΗΛ. ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.
ΧΡ. ἀνέξομαι κλύουσα χὤταν εὖ λέγῃς.
ΗΛ. ἀλλ' οὔ ποτ' ἐξ ἐμοῦ γε μὴ πάϑῃς τόδε.
ΧΡ. μακρὸς τὸ κρῖναι ταῦτα χὠ λοιπὸς χρόνος.
ΗΛ. ἄπελϑε· σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.
ΧΡ. ἔνεστιν· ἀλλὰ σοὶ μάϑησις οὐ πάρα.
ΗΛ. ἐλϑοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.
ΧΡ. οὐδ' αὖ τοσοῦτον ἔχϑος ἐχϑαίρω σ' ἐγώ.
ΗΛ. ἀλλ' οὖν ἐπίστω γ' οἷ μ' ἀτιμίας ἄγεις.
ΧΡ. ἀτιμίας μὲν οὔ, προμηϑίας δὲ σοῦ.
ΗΛ. τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσϑαι με δεῖ;
ΧΡ. ὅταν γὰρ εὖ φρονῇς, τόϑ' ἡγήσῃ σὺ νῷν.
ΗΛ. ἦ δεινὸν εὖ λέγουσαν ἐξαμαρτάνειν.

1021 ὄφελές g || 1022 ϑνήσκοντοσ peg | πᾶν Dawesius misc. crit. p. 260: πάντα Llpeg | γὰρ ἂν L(eraso ἂν)l: γὰρ peg | πάντα γ' ἂν Musgravius Lentingius ad Eur. Med. 246 πάντα τἂν Arnoldus soph. rett. p. 49 || 1023 ἦ Elmsleius praef. Oed. reg. p. XII | τόν τε Heigelius üb. d. Antig. p. 98. φύσιν τε τόν τε Morstadtius p. 30 | ἧσσον L corr. L² ἥσσω g || 1024 τοιαύτη νοῦν L²pe: τοιαύτην ὀῦν Llg τοιαύτη νῷν Morstadtius || 1025 συνδραμοῦσαν g || 1026 κάκ' ἐγχειροῦντα Wakefieldus silv. crit. III p. 85. ἐγχειροῦντ' ἀπαλλάσσειν Herwerdenus exerc. crit. p. 113 | καὶ πάσχειν g || 1028 γ'ὦταν L χ'ὦταν L²pe χ'ὦτ'ἂν l χῷταν g | λέγεισ g corr. g[1] || 1029 ἐμοῦ τε g | πάϑησ L²pe: μάϑησ Lg μάϑησ l | τότε L corr. L² || 1030 ἀρκῶν vel ἀρκεῖ Wecklinus art. p. 57 μακρὸς suspectum Nauckio | ταῦτ' ἔχει FGSchmidtius anal. soph. p. 26 | νὼ Meinekius ad Oed. Col. p. 265 || 1031 σὺ l || 1032—1045 vel 1033—1038 et 1044. 1045 del. Todtius philol. XXXII p. 264 || 1033 πᾶντ' g || 1034 ἄχϑοσ g || 1036 προμηϑείασ l προϑυμίασ g || 1037 δῆϑ' ἔπεσϑαί g || 1038 εὖτ'ἂν εὖ φρονεῖσ g | τότ' L(corr. L²)l | ἡγήσει vulgo | σὺνὼν L corr. L²

1026 εἰκὸς γὰρ τὸν κακῶς ποιεῖν ἐπιχειροῦντα καὶ πάσχειν κακῶς· τοῦτο δὲ ⟨παρὰ τὸ add. Suidas⟩ Πινδαρικὸν ⟨Nem. 4, 31⟩ 'ἐπεὶ ῥέζοντά ⟨g: 'ἐπηρεάζοντά Lv⟩ τι καὶ ⟨gv: eras. L⟩ παϑεῖν ἔοικεν' ⟨Suidas εἰκός⟩. || 1028 οἷον ἔσται καιρὸς ὅτε με εὐφημήσεις. | ⟨ἤτοι πεισϑήσομαι καὶ ἐπαινέσω σε, ὅταν καλῶς λέγῃς. add. L²⟩ || 1036 οὐκ ἀτιμάζω σε, ἀλλὰ προνοοῦμαί σου. || 1039 ἦ δεινὸν εὖ λέγουσαν: δεινὸν ἐμὲ καλῶς λέγουσαν δοκεῖν ⟨om. g⟩ ἐξαμαρ-

ΧΡ. εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ.
ΗΛ. τί δ'; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;
ΧΡ. ἀλλ' ἔστιν ἔνθα χἠ δίκη βλάβην φέρει.
ΗΛ. τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.
ΧΡ. ἀλλ' εἰ ποήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.
ΗΛ. καὶ μὴν ποήσω γ' οὐδὲν ἐκπλαγεῖσά σε.
ΧΡ. καὶ τοῦτ' ἀληθές, οὐδὲ βουλεύσῃ πάλιν;
ΗΛ. βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.
ΧΡ. φρονεῖν ἔοικας οὐδὲν ὧν ἐγὼ λέγω.
ΗΛ. πάλαι δέδοκται ταῦτα κοὐ νεωστί μοι.
ΧΡ. ἄπειμι τοίνυν· οὔτε γὰρ σὺ τἄμ' ἔπη
τολμᾷς ἐπαινεῖν οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.
ΗΛ. ἀλλ' εἴσιθ'. οὔ σοι μὴ μεθέψομαί ποτε,
οὐδ' ἢν σφόδρ' ἱμείρουσα τυγχάνῃς· ἐπεὶ
πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.
ΧΡ. ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι

1044 *ποιήσεισ* Llpeg || 1045 *ποήσω* ς: *ποιήσω* Llpeg || 1046 *βουλεύσει* vulgo || 1048 *ἐγὼ* om. g || 1049 *δέδεκται* g || 1050. 1051 Ioannes Stobaeus floril. 2, 29 "*ἐν Φαίδρᾳ*" | Bergkius n. jahrb. f. philol. XCVII p. 379 versus ita disponit: 1055—1057. 1052—1054. 1050. 1051 || 1051 *ΗΛ.* g | *ἐπαινεῖσ* g corr. g[3] || 1052—1057 del. Morstadtius p. 31 | 1052 *ΧΡ.* g | *οὔ* l[1]peg: *οὐ* Ll | *οὔτοι σοι* Elmsleius ad Eur. Med. 1120 *οὐ γάρ σοι* Monkius *οὐχὶ σοὶ* Nauckius. *εἴσιθ' εἴσω· 'γὼ οὐ* Wecklinus art. p. 75 | *καθέψομαι ποτέ* g || 1053 *ἢν* L corr. L[2] *ἦν* eraso ˜ ut videtur p *εἰ* g | *σφοδραμείρουσα* g corr. g[1] | *τυγχάνησ* L(*ει* superscr. L[2] del. L[2])p *τυγχάνεισ* g || 1054 *ΧΡ.* g

τάνειν. | *ἐπεὶ δὲ ἡ Χρυσόθεμις καλῶς λέγει, δοκεῖ δὲ ἁμαρτάνειν διὰ τὸ μὴ πράσσειν τὰ δίκαια ὑπὲρ ἐκδικίας τοῦ πατρός, πρὸς τοῦτό φησιν ἡ Ἠλέκτρα· δεινόν ἐστι σύμφορα δοκοῦσαν συμβουλεύειν ἄδικα πράσσειν καὶ ἁμαρτάνειν· ὅπερ ἡ Χρυσόθεμις εἰς Ἠλέκτραν τρέπει ἐν τῷ ἑξῆς στίχῳ.* || 1040 *εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ*: *τὸ ἁμαρτάνειν. λέγουσα γὰρ δίκαια καὶ εὐπρεπῆ, ἐν αὐτοῖς ἁμαρτάνεις· ἀλυσιτελῆ γὰρ ἐπιχειρεῖς ποιεῖν.* ⟨*εἶπεν ἀληθῆ ἁμαρτάνειν με. καὶ γὰρ ἁμαρτάνω τοῦ κακοῦ ᾧ σὺ πρόσκεισαι, ἤτοι τῇ σῇ κακῇ βουλῇ.* add. L[2]⟩ || 1042 * Svidas *δικητροπεῖ· φυγαδεύει. Σοφοκλῆς 'ἀλλ' — φέρει', ἀντὶ τοῦ καταδίκην.* * || 1044 *ἀλλ' εἰ ποιήσεις ταῦτα*: *οἷον τοῖς δεινοῖς περιπεσοῦσα ἐπαινέσεις με σύμφορά σοι βουλεύσασαν* ⟨L: *συμβουλεύουσαν* v *συμβουλευούσῃ* g⟩. || 1046 *εἰς τοὐπίσω, εἰς τὸ ἐναντίον.* || 1047 * Svidas *ἔχθιον· ἐχθρότερον. Σοφοκλῆς 'βουλῆς — κακῆς'.* * || 1052 *ἀντὶ τοῦ κοινωνήσω.*

φρονεῖν, φρόνει τοιαῦθ'. ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.

ΧΟ. *τί τοὺς ἄνωθεν φρονιμωτάτους* (στρ. α')
οἰωνοὺς ἐσορώμενοι
τροφᾶς κηδομένους ἀφ' ὧν
τε βλάστωσιν ἀφ' ὧν τ' ὄνησιν εὕρω-
σι, τάδ' οὐκ ἐπ' ἴσας τελοῦμεν;
ἀλλ' οὐ, [μὰ] τὰν Διὸς ἀστραπὰν
καὶ τὰν οὐρανίαν Θέμιν,
δαρὸν οὐκ ἀπόνητοι.
ὦ χθονία βροτοῖσι φά-

1056 personae nota erasa p | *∗οιαῦθ'* p corr. p[1] *τοιαῦτ'* l *σὺ ταῦθ'* Wecklinus art. p. 59 || 1057 *βεβήκεισ* e (*η* corr. e[2]) g | *ἔπηι* L || 1058—1062 in systema glyconeum discribunt Rossbachius et Westphalius metr. III p. 532, Nauckius. Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 14: *τί — οἰω|νοὺς — τροφᾶς| — βλά|στωσι — εὕ|ρωσι — τελοῦμεν;* || 1058 *φρονιμοτάτουσ* g || 1059 *εἰσορώμενοι* g *ὁρώμενοι* Eustathius Boissonadius || 1061 *βλάστωσιν* Schaeferus: *βλαστῶσιν* Llpeg | *βλάστωσ' ἀφ' ὅτων τ'* Bergkius | *ὄνασιν* Brunckius || 1062 *ἐπῖ∗σασ* L *ἐπίσασ* peg || 1063 *οὐ* peg | *μὰ* del. Turnebus | *τὴν* g || 1064 *τὰν* l, *η* superscr. l[1] | *οὐρανίας* L corr. E || 1065 *γὰρ οὐκ* Turnebus *ἐπ' οὐκ* Boissonadius | *ἀποίνητοι* iuntina || 1066—1069 sic divisi in L: *ὦ — φάμα| — οἰκτρὰν| — Ἀτρείδαις| — ὀνείδη* || 1066 *βροτοῖσ* g | *φάμα* l, *ή* superscr. l[1]

1056 *παρὰ τὸ Ὁμηρικόν* ⟨*P* 32⟩ '*ῥεχθὲν δέ τε νήπιος ἔγνω*'. || 1058 *τί τοὺς ἄνωθεν φρονιμωτάτους*: *τὸ ἄνωθεν ἢ τόπου ἢ χρόνου ἐστίν· ἄνωθεν ἐκ φύσεως, ἢ τοὺς ἐν τῷ ἀέρι* ⟨Suidas *ἄνωθεν*⟩. *οἰκεῖον δὲ τῷ χορῷ ἀγανακτοῦντι ἐπὶ τῇ Κλυταιμνήστρᾳ τὸν περὶ τῶν ἀλόγων ἐνταῦθα παραλαβεῖν* ⟨g: *περιλαβεῖν* Lv⟩ *λόγον, ὅτι ἐν τοῖς ἀλόγοις ζώοις φυσική τις ἐστὶ φιλοστοργία, ἡ δὲ Κλυταιμνήστρα ἄστοργος.* | *τὸ δὲ ἑξῆς· τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ὁρῶντες καλῶς κηδομένους τῆς τροφῆς, ἀφ' ὅτων τε ἂν βλαστῶσι καὶ ἀφ' ὧν ἂν ὄνησιν εὕρωσιν.* | *ἐπὶ τῶν τέκνων τὰ δύο· ἀφ' ὧν τ' αὐτὰ* ⟨Neuius: *αὐτοῖς* Lv⟩ *βλαστῶσι τὰ τέκνα, ἀφ' ὧν τε καὶ ὄνησιν εὕρωσιν.* | *λέγονται δὲ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς βαστάζειν τοῖς πτεροῖς, ἕξ ὅτου* ⟨Wolffius ztschr. f. d. alt. wiss. 1855 p. 67: *ἕως ὅπου* L *ἕως ὅτου* gv⟩ *πτεροφυήσωσιν.* | ∗ Evstathivs ad Hom. Θ 9 p. 694 *παρ' αὐτῷ* ⟨*Σοφοκλεῖ*⟩ *δὲ καὶ ὁ ὁρῶν ὁρώμενος Ὁμηρικῷ ζήλῳ, οἷον* '*τοὺς — ὁρώμενοι*'. ∗ || 1062 *τάδ' οὐκ ἐπ' ἴσας τελοῦμεν*: *καλῶς ὁ χορὸς καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ δοκῇ φορτικὸς εἶναι τούτοις καθ' ὧν τὸν λόγον πεποίηται.* || 1065 *οὐκ ἀπόνητοι*: *ἀντὶ τοῦ οὐκ ἐπιπολὺ ἔσονται ἀθῷοι* ⟨Lv: *ἀγαθοὶ* g⟩ *οἱ περὶ Αἴγισθον καὶ Κλυταιμνήστραν.* || 1066 *ὦ χθο-*

μα, κατά μοι βόασον οἰκ-
τρὰν ὄπα τοῖς ἔνερθ' Ἀτρεί-
δαις ἀχόρευτα φέρουσ' ὀνείδη·
ὅτι σφιν ἤδη τὰ μὲν ἐκ δόμων (ἀντ. α')
*νοσεῖ *, τὰ δὲ πρὸς τέκνων*
διπλῆ φύλοπις οὐκέτ' ἐξ-
ισοῦται φιλοτασίῳ διαίτᾳ.
πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεὶ πατρὸς
δειλαία στενάχουσ' ὅπως

1069 *ἀχάριστα* Burgesius apud Baileium Hermesian. p. 77 | *ὀνήδη* L corr. E || 1070 *ὅστισ* e, corr. e² | *σφιν ἤδη* Schaeferus: *σφίσιν ἤδη* Llpeg *σφίσιν δὴ* Erfurdtius || 1071 *νοσσεῖ* e *νοσεῖται* glossa parisini 2794 *νοσεῖ δή* Triclinius *νοσοῦσιν* vel potius *νοσώδη* Erfurdtius *νοσεῖ γᾶ* Lachmannus de chor. syst. p. 177 *νοσοῦντα* Kayserus act. sem. philol. heidelb. p. 62 *νοσεύει* Dindorfius *πᾶν Νοσεῖ* Wolffius *νενόσηκεν* Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 454. *νοσεῖ· τᾷ δὲ* Boissonadius *νοσεῖ. Εἶτα τὰ* Langius progr. giss. aest. 1859 p. 13 *νοσεῖ, Ταῦτα δὲ* Brambachius sophokl. gesänge p. 82 | *δόμων ὄλωλεν τέκνα, πρὸς δὲ τῶν διπλῆ* Hartungus | *τὰ πὲ* e, corr. e¹ || 1072 *ἐξεισοῦται* l || 1074 *πρόδοτον* Hamacherus || 1075 *Ἠλέκτρ', οἶτον* Mudgius Heathius *ἁ παῖς, πότμον* Schneidewinus *Ἠλέκτρα, πότμον* Bergkius *Ἠλέκτρα, τόσ'* EHoffmannus ztschr. f. oest. gymn. 1854 p. 539 *Ἠλέκτρ', εὖτον'* Buchholzius n. jahrb. f. phil. LXXVI p. 343 *Ἠλέκτρα 'κτός,* ASeyffertus progr. brandenb. 1868 p. 16 *ἅδ', ἄλληκτον* Schmalfeldus progr. eisleb. 1861 p. 37. *Ἠλέκτρ', αἶσαν ἀεὶ πατρὸς δειλαίαν* Arnoldus Eos I p. 74 | *τὸν ἀεὶ πότμον* vel *τὸν ἑὸν πότμον* vel potius *τὸν ἀεὶ γόον* sive *νόμον* Dindorfius *τὸν ἀεὶ χρόνον* Heimsoethius krit. stud. I p. 329 *θάνατον πατρὸς* Froehlichius *βίοτον πατρὸς* Hamacherus *πατρὸς ἀεὶ μόρον* COPaulius thes. 2 (Gott. 1865)

νία βροτοῖσιν: *οὐ τὴν ἐπίγειόν φησιν ἀλλὰ τὴν κατὰ γῆς χωρῆσαι δυναμένην.* || 1068 *ἢ Ἀγαμέμνονα ἢ Ὀρέστην· δοκοῦσι γὰρ* ⟨*καὶ* add. g⟩ *αὐτὸν τεθνηκέναι.* || 1069 *ἀχόρευτα φέρουσ' ὀνείδη*: *ἐφ' οἷς οὐκ ἂν τις χορεύσειεν.* | *ὀνείδη δὲ τὰ πένθιμα ὀνείδη· ἐπειδὴ ὄνειδος ἦν τῇ Κλυταιμνήστρᾳ ἐπιχαίρειν Ὀρέστου θανάτῳ* ⟨g: *Ὀρέστῃ* Lv⟩. || 1070 *ὅτι σφίσιν ἤδη*: *ἡ ἀπότασις πρὸς τὴν Κλυταιμνήστραν· ἄγγειλον οὖν, φησίν, ὅτι τὰ κατ' οἶκον νενόσηκεν καὶ οὐκ ἔστιν ὑγιῆ.* || 1072 *οὐκέτ' ἐξισοῦται*: *οὐκέτι ἴσα φρονοῦσιν ὡς ἐν φιλίᾳ διαιτώμεναι, ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας.* || 1074 *πρόδοτος δὲ μόνα σαλεύει*: *κινδυνεύει· ἐκ μεταφορᾶς τῶν νεῶν* ⟨*νηῶν* Lg⟩. | *μόνη δέ, αὐτὴ* ⟨*αὕτη* L *αὐτῇ* g⟩ *ἐφ' ἑαυτῆς χωρὶς ἀγκύρας* ⟨*σαλεύει* add. g⟩. || 1075 *τὸν ἀεὶ πατρός*: *λείπει ἡ περί· περὶ τοῦ πατρὸς στενάχουσα, ὡς τὸ Ὁμηρικὸν* ⟨*X* 424⟩ '*τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ, ὡς ἑνός*'. | *τὸ δὲ ἑξῆς· ἀεὶ τὸν τοῦ πατρὸς μόρον* ⟨Lv: om. g⟩ *στενάχουσα. ἢ τὸν ἀεὶ, εἰς τὸν ἀεὶ χρόνον.* | *λείπει ἡ περί.*

ἁ πάνδυρτος ἀηδών,
οὔτε τι τοῦ θανεῖν προμη-
θὴς τό τε μὴ βλέπειν ἑτοί-
μα, διδύμαν ἑλοῦσ' Ἐρι-
νύν· τίς ἂν [οὖν] εὔπατρις ὧδε βλάστοι;
οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς (στρ. β')
εὔκλειαν αἰσχῦναι θέλει
νώνυμος, ὦ παῖ παῖ·
ὡς καὶ σὺ πάγκλαυτον αἰῶνα κλεινὸν εἵλου,

1077 *ἁ* l *α* l[1] | *πάνδυρτος* Porsonus adv. p. 211 Erfurdtius: *πανόδυρτος* Llpeg *πάνοιζυς* Nauckius. *ὅπως παντόδυρτος* olim Nauckius || 1078—1081 sic divisi in L: *οὔτε — προμηθὴσ| — ἑτοίμα| — ἐρινύν| — βλαστοῖ* || 1078 *οὐτέ* l *οὐδέ* g | *τοὺ μὴ θανεῖν* parisinus 2794 Eustathius | *προμηθ∗σ* e, corr. e[2] || 1080 *ἐριννὺν* pe Eustathius ad *E* 548 p. 581 || 1081 *τίσ τἆρ* g | *οὖν* del. Triclinius | *βλάστοι* Schaeferus: *βλαστοῖ* Llpe *βλαστῇ* g || 1082—1097 del. Schoellius, 1082. 1083 affert Ioannes Stobaeus floril. 37, 4 | *ἀγαθῶν γὰρ* Hermannus (*γὰρ ἀγαθῶν* Stobaeus Grotii) *ἀγαθῶν φὺς* Hartungus *ἀγαθῶν τοι* Langius progr. giss. 1859 p. 19. *ἀγαθῶν ἂν — θέλοι* Schneidewinus Bergkius | *ζῶν* del. Brambachius soph. ges. p. 83 || 1083 *αἰσχύναι* L (corr. E) lg Stobaeus | *θέλοι* Orion anthol. 7, 11 || 1084 *νώνυμνος* L corr. E | *ὦ παι παῖ* g *ὦ παῖ ὦ παῖ* Boissonadius || 1085 *πάγκλαυτον* L: *πάγκλαυστον* lpeg | *ῶνα — εἵλου* separato versu L | *αἰῶνα κλεινὸν* Sirksius ad Heronis metr. p. 129 Madvigius adv. crit. I p. 219: *αἰῶνα κοινὸν* LlpegΣ *αἰῶ σύνοικον* Nauckius *αἰῶν' ἄοικον* Langius *αἰῶν' ἀχέων* olim Wolffius *αἰῶνα κοινά θ'* ASeyffertus progr. brandenb. 1868 p. 17 *αἰῶνα κεῖνον* Schuppius ztschr. f. oest. gymn. 1863 p. 691 *Αἰδῶνα κοινὸν* Wolffius ztschr. f. gymn.-w. 1865 p. 763 | *πάγκλαυτος αἰῶνα ξυγκαθεῖλες τὸ μὴ καλόν, καθοπλ.* Schmalfeldus progr. eisleb. 1868 p. 29

1078 *πρόνοιαν οὐκ ἔχουσα τοῦ μὴ ἀποθανεῖν, ὅ ἐστιν ἀφειδοῦσα τῆς ἰδίας ψυχῆς* ⟨Brunckius: *τύχης* Lg⟩ *καὶ ῥιψοκινδυνοῦσα.* | ∗ Eustathius ad Hom. *Z* 333 p. 645 *ὅμοιον καὶ παρὰ τῷ φιλομήρῳ Σοφοκλεῖ τὸ ... ʽοὔτε τι τοῦ μὴ θανεῖν — ἑτοίμαʼ.* ∗ || 1079 *τό τε μὴ βλέπειν ἑτοίμα*: *ἑτοίμη καὶ τῆς ὄψεως στέρεσθαι, τουτέστιν ἀποστερηθῆναι τῶν ὀμμάτων.* | *ἀντὶ τοῦ καὶ ἀποθανεῖν ἑτοίμη καὶ ζῶσα κολάζεσθαι· καὶ τοῦτο λέγει διδύμην ἐρινύν.* | *ἢ ἐπὶ τοῦ θανάτου τὰ δύο· ἑτοίμη μὴ βλέπειν αὐτούς, ἀλλ' ἐν σκότει γενέσθαι τοῦ θανάτου, ἐν τῇ αὐτῇ ἐρινύι* ⟨g: *ἐρινύει* L *ἐριννύι* v⟩ *γενομένη τῷ Ἀγαμέμνονι· ὅ ἐστι διπλῆ ἐρινύς.* || 1080 *Αἴγισθον καὶ Κλυταιμνήστραν.* || 1084 *νώνυμνος* ⟨Lv: *νώνυμος* g⟩ *τῆς εὐκλείας θέλων γενέσθαι.* | *ὦ παῖ παῖ*: *οὕτω καὶ σύ, ὦ παῖ, εἷλου τὸν αἰῶνα πάγκλαυτον* ⟨Lv: *πάγκλαυστον* g⟩. | *κοινὸν δὲ διηνεκῆ καὶ κοινὸν* ⟨*καὶ κ.* om. g⟩ *ἐπὶ παντὸς αἰῶνος ἑαυτῆς.*

τὸ μὴ καλὸν † καθοπλίσασα δύο φέρειν ἐν ἑνὶ λόγῳ,
σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.
ζῴης μοι καθύπερθεν χερὶ (ἀντ. β')
† καὶ πλούτῳ τῶν ἐχθρῶν ὅσον
νῦν ὑπόχειρ ναίεις·
ἐπεί σ' ἐφεύρηκα μοίρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ
βεβῶσαν, ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα, τῶνδε φερο-
μέναν
ἄριστα τᾷ † Διὸς εὐσεβείᾳ.

1087 *τοῦ μὴ καλὸν* g *τοῦ μὴ καλοῦ, καθοπλ.* Wexius progr. suerin. 1863 p. 20 *τὸ μὴ κακὸν* Kayserus n. jahrb. f. philol. LXIX p. 511 *τὸ ζῆν καλὸν* Langius *τὸ δὴ καλὸν* vel potius *τί μὴ καλὸν* Emperius | *καθοπλίσασθαι* p corr. p¹ *καθυπνίσασα* vel *καθιππάσασα* Hermannus *καθυποβαλοῦσα* olim Wolffius de schol. laur. p. 36 *καταπαλαίουσα* Hartungus *κατελπίσασα* Schuppius p. 692 *παροπλίσασα* Meinekius philol. XX p. 719 *ὑπεροπλίσασα* Heimsoethius krit. stud. I p. 359 *δ' ἀποπτύσασα* Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 15 *καθορμίσασα* ASeyffertus *ἀπολακτίσασα* IHHSchmidtius ant. compositionsl. p. XXXVI *κατοκνήσασα* Madvigius || 1088 *δύο — λόγωι* separato versu L | *φέρεσθαι* omisso *ἐν* Boissonadius *φέρει δ'* Nauckius *φέρεις* Gleditschius | *ἐν ἑνὶ* Brunckius: *ἑνὶ* Lpeg *ἐνὶ* l || 1090 *καθύπερθεν* ς Eustathius: *καθύπερθε* Llpeg | *χειρὶ* Eustathius || 1091 *πλούτῳ τε* Triclinius. *χερσὶ καὶ πλούτοισι* Meinekius ad Oed. Col. p. 265 *πλούτῳ καὶ χειρὶ* Gleditschius | *τεῶν* Hermannus *τοσόνδ'* Langius *δόμων* Wecklinus art. p. 73 || 1092 *ὑπόχειρ* Musgravius: *ὑπὸ χεῖρα* Llpeg *ὑπὸ χέρα* Erfurdtius || 1093 *ἐφηύρηκα* Dindorfius || 1094 *ραι — ἐσθλᾶι* separato versu L | *ἐν* pς: om. Leg *ἐπ'* l vindobonensis || 1096 *νόμιμα — φερομέναν* separato versu L | *τῶν δὲ* Hermannus | *φερομένᾳ ἄρ. τᾷ Ζηνὸς* Schuppius ztschr. f. oest. gymn. 1863 p. 692 || 1097 *ἄριστα* LlpegΣ: *ἀρίστα* Le² *ἐριστὰ* (*ἀρεστά, ἔραστα*) Σς | *τᾶι διὸσ* Ll: *τῆ διὸσ* p *τᾶ διὸσ* eg *γρ. ἀρίστα ταζηνόσ* E *τῆ ζηνὸσ* superscr. *τοῦ διὸς* vaticanus 47 *τᾷ Ζηνὸς* Triclinius Porsonus ad Eur. Or. 1700 *τᾷδ' Αἰδὸς* Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 457 *τᾷ πατρὸς* Gleditschius Michaelis | *ἄριστα τὰν σὰν δι' εὐσέβειαν* olim Nauckius *κράτος τ' ἀριστεῖά τ' εὐσεβείᾳ* Langius *κράτος τε καὶ κῦδος εὐσεβείᾳ* Wecklinus art. p. 11 *ἐπιστάτα Ζηνὸς εὐσέβειαν* Wolffius

1087 *καταπολεμήσασα τὸ αἰσχρὸν καὶ νικήσασα.* | *οἷον τοὺς ἐχθροὺς καταγωνισαμένη* ⟨Lv: *κατὰ τροπωσαμένην* g⟩. || 1090 * Eustathius ad Hom. *Π* 720 p. 1083 *διὸ εὔχεται ὁ δῆθεν κατὰ πολὺ ἐλάττων Ἄσιος οὐκ ἴσος τῷ κολαστέῳ Ἕκτορι γενέσθαι ἀλλὰ μείζων, καὶ οὐχ ἁπλῶς μείζων ἀλλ' ὅσον ἄρτι ἐλάττων ἐστίν. ὁ δὲ ταῦτα εὐχόμενος καὶ ἑαυτὸν σεμνύνει, ἐὰν οὕτως ἐλάσσων ὢν θαρρῇ κίνδυνον. ἰστέον δὲ ὅτι καὶ παρὰ τῷ Ὁμηρικῷ ζηλωτῇ Σοφοκλεῖ ἔστι σχῆμα εὐχῆς ὅμοιον ἐν τῷ ʽζῴης μοι καθύπερθεν ἐχθρῶν χειρὶ καὶ πλούτῳ ὅσον νῦν ὑπὸ χεῖρα ναίεις'.* * || 1095 *ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα*: *ἃ δὲ φυσικὰ καὶ μέγιστα νόμιμα ἔβλαστε, τούτων ἀποφερομένη τὰ ἄριστα.* | *ἢ ἐριστά* ⟨L: *ἀρεστὰ* g *ἐριστᾷ* Brunckius⟩ *ἀμφ-*

ΟΡ. ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν
ὀρθῶς θ' ὁδοιποροῦμεν ἔνθα χρῄζομεν;
ΧΟ. τί δ' ἐξερευνᾷς καὶ τί βουληθεὶς πάρει;
ΟΡ. Αἴγισθον ἔνθ' ᾤκηκεν ἱστορῶ πάλαι.
ΧΟ. ἀλλ' εὖ θ' ἱκάνεις χὠ φράσας ἀζήμιος.
ΟΡ. τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;
ΧΟ. ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
ΟΡ. ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκῆς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.
ΗΛ. οἴμοι τάλαιν'. οὐ δή ποθ' ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;
ΟΡ. οὐκ οἶδα τὴν σὴν κληδόν'· ἀλλά μοι γέρων
ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.
ΗΛ. τί δ' ἔστιν, ὦ ξέν'; ὥς μ' ὑπέρχεται φόβος.
ΟΡ. φέροντες αὐτοῦ σμικρὰ λείψαν' ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.
ΗΛ. οἲ 'γὼ τάλαινα, τοῦτ' ἐκεῖν'· ἤδη σαφὲς

1099 θ' le^{2}: δ' Lpeg || 1100 ἐπερευνᾶσ g || 1101 ᾤκη*εν e, corr. e^{2} ᾤκησεν g | γρ. μαστεύω L^{2} || 1102 ὀρθῶσ ἱκάνεισ l vindobonensis (superscr. ἀλλ' εὖ γρ$^{\alpha\iota}$) | εὖ γ' Turnebus | χ'ὠ Ll χὼ g || 1104 κυνόπουν e | ἡμῶν παρόντων κοινόπουν ὁμιλίαν Nauckius || 1105 '*δ' p ἡδ' p^{1} ἥδ' g | τε g || 1107 φωκῆσ L: φωκῆσ L^{2} φωκεῖσ lpeg | ματεύουσ' pς: μα*στεύουσ' L μαστεύουσ' le(eraso σ)g || 1108 οὐ e μὴ superscr. e^{2} | τάλαιν'. ἆρα ποθ' vindobonensis | εἰσακούσαμεν l corr. l^{1} || 1109 φέρ****τεσ p || 1110 ἀλλ' ἃ g || 1111 στροφίοσ Ll || 1112—1114 del. Schoellius || 1113 θανόντος αὐτοῦ Nauckius | σμικρὰ L: μικρὰ lpeg || 1114 θονόντοσ g corr. g^{1} φέροντες Nauckius | προσήκομεν Wecklinus art. p. 52 || 1115 οἴ ἐγὼ Llp οἵ ἐγὼ l^{1}e(eraso ε)g | post ἐκεῖν' distinxit Neuius

ηρίστῳ τῇ εὐσεβείᾳ τῇ τοῦ Διός· ἢ ἐριστὰ ⟨Lv: ἔραστα g ἐριστᾷ Brunckius⟩ τῇ εὐσεβείᾳ ⟨τῆς εὐσεβείας g⟩, ἣ ἂν τις ἐρίσειεν, ἀντὶ τοῦ περισπουδάστῳ. | προσφερομένην τῇ εὐσεβείᾳ τὰ νόμιμα, ἀντὶ τοῦ ⟨v: om. L⟩ μετὰ εὐσεβείας πράττουσαν ⟨ed. rom.: πράττουσα Lgv⟩ ⟨τὰ μὴ νόμιμα add. g⟩. || 1098 Ὀρέστης πάρεστιν σὺν τῷ Πυλάδῃ κομίζων τὰ λείψανα τῶν λογοποιουμένων ὀστῶν ἑαυτοῦ. | θαυμαστὴ ἡ οἰκονομία τοῦ ποιητοῦ, μὴ ἅμα τῇ ἀπαγγελίᾳ τοῦ θανάτου κομίσαι τὰ λείψανα, ἵνα εὔλογος πρόφασις τῆς παρόδου γένηται τῷ Ὀρέστῃ, καὶ παραυτὰ ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τοῦ πάθους. || 1102 ἀληθὴς καὶ οὐχ ὑπέχων ζημίαν τοῦ ψεύδους. ⟨ἀζήμιος: ἀληθής, μὴ ὑποκείμενος ζημίᾳ ὡς μὴ ἀπατήσας ἡμᾶς. g⟩ ⟨Suidas ἀζήμιος⟩. | ⟨ἄμεμπτος. add. L^{2}⟩

πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι.
ΟΡ. εἴπερ τι κλαίεις τῶν Ὀρεστείων κακῶν,
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.
ΗΛ. ὦ ξεῖνε, δός νυν, πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, εἰς χεῖρας λαβεῖν,
ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.
ΟΡ. δόθ' ἥτις ἐστὶ προσφέροντες· οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τόδε,
ἀλλ' ἢ φίλων τις ἢ πρὸς αἵματος φύσιν.
ΗΛ. ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ

1117 *κλάεις* Dindorfius | *ὀρεστειῶν* g || 1119 *ξένε* lg | *δός νυν* Brunckius: *δὸς νῦν* Llpeg || 1120 *κεύθει νιν ὄντ' οὐ τεῦχος* Burgesius apud Bayleium Hermesian. p. 76 | *ἐς* Brunckius || 1121. 1122 del. Schoellius | *καὶ τὸ γένοσ* e | *ἐμοῦ* g || 1122 *κ'ἀποδύρωμαι* L *καὶ ἀποδύρωμαι* l *κἀποδύρομαι* g || 1123 *ἐστὶν* g || 1124 *ἐπαιτεῖ* L(corr. L)g | *τόδε* Leg: *τάδε* Llp || 1125 del. Iahnius | *τίσ* lg. *τίς ἐστιν* Froehlichius *ἔφυ τις* Nauckius, uterque deleto *φύσιν* || 1126 *φίλτατον* e, corr. e[2]

1117 *ἀξιοπίστως ἄγαν Ὀρέστης σκληρός ἐστιν, οὐχ οἷον δεῖ ἄγγελον εἶναι, καὶ συναχθόμενον τοῖς ἀτυχήμασιν ἔσθ' ὅτε.* || 1123 *εἰκὸς αὐτοῖς ἕπεσθαί τινας. περιπαθῶς δὲ λίαν τὸ ἥτις ἐστίν.* || 1126 *λαβοῦσα τὸ τεῦχος* ⟨gv: *τοῦ τεύχους* L⟩ *φησίν· ὑπερφυῶς δὲ ἔχει τῇ διαθέσει λαβοῦσαν καὶ βαστάζουσαν τὰ ὀστᾶ ὀδύρεσθαι. Ὅμηρος* ⟨*Τ* 288⟩ *'ζωὸν μέν σ' ἔλιπον ἐγὼ κλισίηθεν ἰοῦσα'.* | * Apsines art. rhet. p. 724 Ald. *κινεῖ δ' ἔλεον καὶ λόγος τις γινόμενος πρὸς κτήματα τοῦ τεθνεῶτος. ... καὶ ἡ Ἠλέκτρα ἐν τῷ Ὀρέστῃ θεασαμένη τὴν ὑδρίαν ἐν ᾗ πλαστῶς κεκομισμένα ὀστέα αὐτοῦ διαλέγεται μὲν πρὸς αὐτήν, κινεῖ δὲ ἔλεον. φησὶ γοῦν 'ὦ φιλτάτου — λοιπόν'. ἔπειτα τούτοις συνάπτει τὸν παρ' ἐλπίδας* ⟨*ἐλπίδα* Spengelius⟩ *τόπον καλούμενον, καὶ αὐτὸν ἔλεον κινεῖν δυνάμενον* [*φησὶ γὰρ 'κοίτης* ⟨*κύτει* Bakius⟩ *μικρὸς ἐν μικρῷ'* ⟨1142⟩] ⟨del. Michaelis⟩, *καὶ ἐπιτίμησιν αὐτῷ συνέπλεξεν, ὥσπερ μήποτε ὤφελε, φησίν, ἀλλὰ πρότερον τεθνήκειν· ἔπειθ' ἃ ἔδει τεθνεῶτος αὐτοῦ γεγονέναι ὡς οὐ γεγονότα διέξεισιν· οὐ γὰρ ἔθαψά σε, φησίν, οὐδὲ περιέστειλα.* ⟨conf. ad v. 808.⟩ * | * Gellius VI, 5 *histrio in terra Graecia fuit fama celebri, qui gestus et vocis claritudine et venustate ceteris antistabat: nomen fuisse aiunt Polum; tragoedias poetarum nobilium scite atque asseverate actitavit. is Polus unice amatum filium morte amisit. eum luctum quoniam* ⟨*quando* Michaelis⟩ *satis visus est eluxisse, rediit ad quaestum artis. in eo tempore Athenis Electram Sophoclis acturus gestare urnam quasi cum Oresti ossibus debebat. ita compositum fabulae argumentum est, ut veluti fratris reliquias ferens Electra comploret commisereaturque interitum eius * * * existi-*

ψυχῆς Ὀρέστου λοιπόν, ὡς ἀπ' ἐλπίδων
οὐχ ὥνπερ ἐξέπεμπον εἰσεδεξάμην.
νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν,
δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι χεροῖν
κλέψασα τοῖνδε κἀνασώσασθαι φόνου,
ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
νῦν δ' ἐκτὸς οἴκων κἀπὶ γῆς ἄλλης φυγὰς
κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα·
κοὔτ' ἐν φίλαισι χερσὶν ἡ τάλαιν' ἐγὼ
λουτροῖς ἐκόσμησ' οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην, ὡς εἰκός, ἄθλιον βάρος.
ἀλλ' ἐν ξέναισι χερσὶ κηδευθεὶς τάλας
σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.

1127 μορφῆς τ' Ὀρέστου λείψαν' Morstadtius p. 33 | ὧς σ' vindobonensis (σ' in litura) Brunckius | ἄπ' p vindobonensis (in lit.) ὑπ' Schaeferus. ἀπελπίδων e || 1128 ὅνπερ harleianus Dobraeus adv. II p. 51: ὥνπερ Llpeg ὥσπερ vindobonensis ς Morstadtius | εἰσέπεμπον ut videtur L corr. E | ὧν ὕπαι σ' ἔπεμπον Wolffius | ἀπεδεξάμην g || 1129. 1130 del. Nauckius || 1130 λαμπρῶν e, corr. e¹ || 1131 ὤφελον Llpeg: ὤφελεσ Ee² vindobonensis ς | πάροιθε l corr. l¹ || 1132 ἐκπέμψαι Llpeg: ἐκπέμψω E || 1133 κλέψασα Llpeg: κλέψασαν Eς | κἀνασώσασθαι Llpeg: κἀνασώσασα E vindobonensis ς || 1135 εἰληφὼσ e || 1136 κἀπὸ L corr. E || 1137 κακῶ L corr. E | κά**γνητησ p corr. p¹ || 1139 λουτροῖσ Llpeg: λουτροῖ(σ l¹ λουτροῖς σ' palatinus Schaeferus melet. crit. p. 132 | ἐκόσμισ' e | π***ὸσ L corr. E || 1140 ἄθλιον δέμας Nauckius || 1141 ξέναισι pe: ξένῃσι Llg || 1142 μικρὸς Suidas | ὄγκου g | μικρῷ lp Suidas

matur. igitur Polus, lugubri habitu Electrae indutus, ossa atque urnam e sepulcro tulit filii et quasi Oresti amplexus opplevit omnia non simulacris neque imitamentis, sed luctu atque lamentis veris et spirantibus. itaque cum agi fabula videretur, dolor actus est. * || * 1126 Evstathivs ad Hom. *H* 86 p. 666 καὶ αὐτὸ δὲ τὸ μνημεῖον μνήμην σαφῶς δηλοῖ παρὰ Σοφοκλεῖ ἐν τῷ 'μνημεῖον ψυχῆς Ὀρέστου'. * || 1127 λοιπὸν μνημεῖον. || 1137 οἷον τῆς μόνης σου κηδομένης. ὅλα δὲ ἐπιτέταται τῷ πάθει διὰ τὸ παρεῖναι τὸν Ὀρέστην· ὡς καὶ Πηνελόπη παρόντα Ὀδυσσέα θρηνεῖ παρ' Ὁμήρῳ, ἐν οἷς φησί ⟨τ 209⟩ 'ἑὸν ἄνδρα παρήμενον'. | ἐνθάδε δὲ δίκαιον δηλοῦσθαι ὅτι ἀδελφὴ αὐτοῦ ἐστιν ἡ ⟨Brunckius: ἢ L αὐτοῦ — ἡ om. v⟩ ἐν τῷ λόγῳ· ἀγνοῶν γὰρ αὐτὴν Ὀρέστης ἀπολοφυρομένην γνώσεται. || 1142 * Svidas ὄγκος· τὸ βάρος. Σοφοκλῆς 'μικρὸς — κύτει' περὶ τῶν Ὀρέστου λειψάνων. * | τῇ θήκῃ.

οἴμοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος,
οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός,
ἐγὼ δ' ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντι σὺν σοί. πάντα γὰρ συναρπάσας
θύελλ' ὅπως βέβηκας. ‹ οἴχεται πατήρ,
τέθνηκ' ἐγώ σοι, φροῦδος αὐτὸς εἶ θανών·
γελῶσι δ' ἐχθροί, μαίνεται δ' ὑφ' ἡδονῆς

1144 *τὴν ἔγωγ', ἄδελφε, σοὶ* Froehlichius || 1145 *παρεῖχον* Nauckius || 1146 *σύ γ' εἷλκες μαστόν* deletis *ἢ — ἦσαν* Nauckius | *κἀμοῦ τέκος* Dindorfius *κἀμοῦ 'φέλος* Meinekius ad Oed. Col. p. 266 *κἀμοῦ θάλος* Arnoldus soph. rett. p. 34 || 1147 del. Schenkelius ztschr. f. oest. gymn. 1869 p. 539 | *οἱ* Llp: *οἳ* l^1eg *αἱ* Bintzius de usu adiect. ap. Nonnum p. 40 || 1148 suspectus Herwerdeno ad Oed. reg. p. 200 | *ἀδελφῇ* e | *σοὶ* pe: *σοι* L *σὴ* Ele^2g | *τροφὸς Ἐγώ τ' ἀδελφὴ σὴ* Meinekius. *ἔγωγε τίτθη σοι* Morstadtius p. 35. *ἐγὼ δὲ μήτηρ σὴ προσηυδώμην, κἄσι* Nauckius (mél. gréco-rom. III p. 29). *κἀμοῦ τέκος Ἐγώ τ' ἀδελφὴ* (vel *ἄδελφε*) *σοὶ προσηυδώμην τροφός* deleto 1147 Schenkelius | *προσηυδώμην* Elpe: *προσηυδόμην* Ll^1g || 1150 *θανόντα* e^2g || 1151 *βέβωκας* g corr. g^1 | *οἴχεται δόμος* Schenkelius || 1152 del. Schenkelius | *τέτηκ'* Musgravius Froehlichius | *σοι* in litura l | *ἐγώ· σὺ* Erfurdtius Froehlichius

1146 *οὐ γὰρ ἦς* ⟨Lv: *ἦσθα* g⟩, *φησί, τῆς μητρός ποτε ἢ καὶ ἐμοῦ μᾶλλον, ἵνα ἐπὶ τοῦ ἦσθα διαστείλωμεν· οὐκ ἦσθα τῆς μητρός, ἀλλὰ μᾶλλον καὶ ἐμοῦ· οἷον ἐγώ σοι μᾶλλον ἤμην μήτηρ ἤπερ ἡ Κλυταιμνήστρα· τὸ δὲ φίλος ἀντὶ τοῦ ὄφελος* ⟨*φίλος — ὄφελος* Suidas *φίλος*⟩. *ἄλλως· οὐκ ἦς* ⟨Lv: *ἦσθα* g⟩ *τῆς μητρὸς φίλος μᾶλλον ἢ ἐμοῦ* ⟨L: *κἀμοῦ* g *καὶ ἐμοῦ* v⟩, *ἀντὶ τοῦ οὐ τῇ μητρὶ προσέκεισο μᾶλλον. ἄμεινον δὲ τὸ ἕτερον διὰ τὴν ἡλικίαν τοῦ Ὀρέστου, ἐφ' ἧ τὸ φίλον εἶναι αὐτὸν καὶ διακρίνειν τινὰ τότε οὐκ ἐνεχώρει· μικρὸς γὰρ ἦν.* || 1153 * Apsines art. rhet. p. 724 *κινεῖ δὲ ἔλεον καὶ ἡ τῶν ἐχθρῶν ἐπ' αὐτοῖς ἐσομένη χαρὰ δηλουμένη καὶ νὴ Δία τις ἡδονή· ἡ γοῦν Ἠλέκτρα καὶ ἀπὸ τῆς περὶ τὸν Αἴγισθον καὶ Κλυταιμνήστραν χαρᾶς οὔσης κινεῖ τὸν ἔλεον. γελῶσι δέ, φησίν, οἱ ἐχθροὶ καὶ μαίνεται ἡ μήτηρ ὑπὸ τῆς ἡδονῆς.* Evstathivs ad Hom. *Ζ* 389 p. 649 *τὸ δὲ μαινομένη ἐνθουσιῶν δηλοῖ τὴν γυναῖκα πρὸς ὁρμὴν τῷ τοῦ ἀνδρὸς πόθῳ, οὗ ἡ ἐπίτασις μανίᾳ ἔοικε, καθὰ δηλοῖ καὶ τὸ 'μαίνεται δ' ὑφ' ἡδονῆς' παρὰ Σοφοκλεῖ.* ad *Θ* 111 p. 702 *ὡς δὲ καὶ τὸ καθ' ὑπερβολὴν ἐρᾶν μανίᾳ ἔοικε καὶ ὁ πάσχων αὐτὸ μαίνεσθαι δοκεῖ, ὁμοίως δὲ καὶ ὁ κατ' ἄλλην ἄλογον καὶ ἀσύμμετρον ἔφεσιν πλεονάζων τοιούτῳ ἐνίσχεται σκώμματι, δῆλον ἐκ τῶν σοφῶν. μαίνεται γοῦν τις ὑφ' ἡδονῆς παρὰ Σοφοκλεῖ.* *

μήτηρ ἀμήτωρ, ης ἐμοὶ σὺ πολλάκις
φήμας λάθρᾳ προὔπεμπες ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
ὅς σ' ὧδέ μοι προὔπεμψεν ἀντὶ φιλτάτης
μορφῆς σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἴμοι μοι.
ὦ δέμας οἰκτρόν. φεῦ φεῦ.
ὦ δεινοτάτας, οἴμοι μοι,
πεμφθεὶς κελεύθους, φίλταθ', ὥς μ' ἀπώλεσας·
ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδὲν εἰς τὸ μηδέν, ὡς σὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων, καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μὴ ἀπολείπεσθαι τάφου·
τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.
ΧΟ. θνητοῦ πέφυκας πατρός, Ἠλέκτρα, φρόνει·

1155 *φήμην* vindobonensis | *λάθρα* lpeg | *προύπεμπεσ* e: *προὔπεμπεσ* Llpg || 1156 *αὐτοῖσ* e, corr. e² *αὐτῆς* Wecklinus art. p. 38 | *δυστυχέστατος* deleto *αὐτός* Wolffius || 1157 *σόςε* L *σός τε* L² | *κὰμ**** p corr. p¹ | *ἐξαφείλατο* L (ut videtur, corr. L²) g || 1158—1164 del. Schoellius | *σ'* om. g | *προύπεμψεν* e: *προὔπεμψεν* Llpg | *φιλτάτου* Le corr. Le² || 1159 *σπο*δόν* L || 1160—1162 'verba misere luxata' Nauckius | *οἴ μοι μοί* L *οἴ μοι μοι* l *οἴ μοι* Hermannus || 1162 *οἴ μοι μοί* Ll *οἴ μοι* Hermannus || 1163 *κελεύθους* L²ς: *κελεύθου* Llpeg || 1165 *τοί γὰρ* L *τοὶ γὰρ* l | *εἰσ* p || 1166 *ἐσ* p || 1167 *τολοιπόν* p | *ἧισθ'* Ll | *ἄνωι* l || 1168 *κατεῖχον* L corr. L || 1169 *μὴ ἀπολείπεσθαι* eraso priore α L *μὴξ'ἀπολείπεσθαι* l *μὴ'πολείπεσθαι* pe *μὴ ἐκλείπεσθαι* g *μἀπολείπεσθαι* Dindorfius || 1170 del. Zippmannus athetes. soph. spec. p. 1 || 1171 *ἠλέκτρᾳ* l | *φρόνει* suspectum Nauckio, qui olim coniecerat *θνητοῦ γεγῶτα πατρός, Ἠλέκτρα, φρόνει Θανόντ' Ὀρέστην*

1154 * Apsines art. rhet. p. 724 *κινεῖ δὲ ἔλεον καὶ ἡ ἀνάμνησις ὧν εἶπεν ἢ ἐποίησεν. ... κατὰ τοῦτον τὸν τρόπον καὶ Σοφοκλῆς τοιούτους τινὰς λόγους τῇ Ἠλέκτρᾳ περιτέθεικε· θρηνοῦσα γὰρ τὸν ἀδελφόν [ἐστι] τεθνεῶτα ὡς ᾤετο διέξεισι τὰς ἀγγελίας ἃς ἔπεμπε πρὸς αὐτὴν ὡς ἥξων αὐτὸς οὐκ εἰς μακρὰν τιμωρησόμενος τὸν Αἴγισθον.* * || 1163 * Alexander de fig. 13 *τοῦτο δέ τινες ἰδίως ἀναδίπλωσιν λέγουσιν, ὅταν τὸ δεύτερον λεγόμενον ἄρχηται ἀπὸ τῆς τοῦ προηγουμένου τελευτῆς, ὡς Σοφοκλῆς 'ὦ φίλταθ' — κάρα'.* * | ⟨*ὦ μ' ἀπώλεσας: τὸ ὦ ἀντὶ τοῦ ἧ, ἐν ᾗ με ἀπώλεσας.* add. g⟩ || 1171 *πιθανῶς πρόσκειται τὸ ὄνομα τῆς Ἠλέκτρας, ἵνα μάθῃ Ὀρέ-*

θνητὸς δ' Ὀρέστης· ὥστε μὴ λίαν στένε.
[πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.]
ΟΡ. φεῦ φεῦ. τί λέξω; ποῖ λόγων ἀμηχανῶν
ἔλθω; κρατεῖν γὰρ οὐκέτι γλώσσης σθένω.
ΗΛ. τί δ' ἔσχες ἄλγος; πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς;
ΟΡ. ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
ΗΛ. τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.
ΟΡ. οἴμοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς.
ΗΛ. οὐ δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ στένεις τάδε;
ΟΡ. ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον.
ΗΛ. οὔτοι ποτ' ἄλλην ἢ 'μὲ δυσφημεῖς, ξένε.
ΟΡ. φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.
ΗΛ. τί μοί ποτ', ὦ ξέν', ὧδ' ἐπισκοπῶν στένεις;
ΟΡ. ὡς οὐκ ἄρ' ᾔδη τῶν ἐμῶν οὐδὲν κακῶν.
ΗΛ. ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων;
ΟΡ. ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσιν.

1173 del. Bergkius ztschr. f. alt.-wiss. 1835 p. 962. Aristoph. fragm. p. 1135 ⟨Ioannes Stobaeus floril. 118, 16 *Ἀριστοφάνους Πολυΐδου. τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον λῆρος πολύς· πᾶσιν — παθεῖν.*⟩ | *πᾶσι* e || 1174 *ποίων λόγων* p | *ἀμηχανῶν* parisinus 2794: *ἀμηχάνων* Llpeg | *γλώσσης* Lpe: *γνώμησ* ĿĿlg || 1176 *χορὸς* notam praescr. g² | *ἔσχε σ'* Bergkius | *ἄλγος, πρὸς* Hermannus || 1177 *ἦ* Lpeg: *εἰ* g¹ *ἆ* l *ἆρα* superscr. l¹ | *σὸν τὸ* Llp: *τὸ σὸν* e *σὸν* g | *Ἠλέκτρασ* Ŀlpe: *Ἠλέκτρα* Lg || 1178 seqq. Bergkius dittographiam statuit, ut in aliis antigraphis se exceperint soli 1178. 1181. 1182. 1183. 1180 (*τί δή ποτ'*), melius in aliis 1178. 1181. 1182. 1179. 1184 (*τί δή ποτ'*) | 1178. 1179 del. Schoellius | *ἔστ'* lg || 1179 *ἆρα* Ŀp: *ἄρα* Lleg || 1180 *οὐ* Σ: *τί* L(*.ου.* superscr. Ŀ)lpeg *σὺ* Steinhartus progr. portens. saecul. 1843 p. 7 | *ξ**'* e, corr. e² || 1181. 1182 del. Schoellius | *κἀσεβῶς* Heimsoethius krit. stud. I p. 92 || 1182 *οὔτοι πότ'* l *οὔτοί ποτ'* e | *ἢ 'με* l || 1183 *τ** e, corr. e² || 1184 *μοί* Le² (in litura) Suidas: *δή* Ŀlpg | *ὧδέ μ'* e || 1185 *ᾔδη* Heathius Brunckius: *ᾔδειν* Llpeg | *ἐγὼ* L *οὐδὲν* corr. Ŀ || 1186—1201 del. Schoellius || 1187 *ἐνπρέπουσαν* Ll | *ἄλγεσι* p

στης· οὐ γὰρ μόνη ἦν αὐτῷ ἀδελφή· τοῖς δὲ κοινοῖς βοηθήμασι χρῆται ὁ χορὸς ἐν τῇ παρηγορίᾳ. || 1174 *ἀναγκαῖον ἐμφανισθῆναι τὸν Ὀρέστην· διεφθάρη γὰρ ἂν* ⟨g: om. L⟩ *τὸ συνεκτικὸν τῆς ὑποθέσεως σιωπῶντος αὐτοῦ.* || 1178 *τοῦτο δύναται μὲν καὶ ἡ Ἠλέκτρα λέγειν· εὐπρεπέστερον δὲ τῷ χορῷ περίκειται, ἵνα μὴ περὶ τοῦ ἑαυτῆς εἴδους εἴπῃ* ⟨gv: *εἶπε* L⟩ *τι. θαυμαστῶς δὲ τὴν μὲν Κλυταιμνήστραν ἀπὸ τοῦ λαμπροῦ σχήματος ὁ ἄγγελος ἐγνώρισεν* ⟨663⟩, *οὗτος δὲ οὐ γινώσκει τὴν Ἠλέκτραν διὰ τὸ κεκακῶσθαι τὸ σῶμα* ⟨*αὐτῆς ἀπὸ τῆς θλίψεως. καὶ ἄλλως. τι δ' ἔσχες* add. g⟩. || 1180 *ἆρα οὐ περὶ ἐμοῦ τάδε;* || 1184 *καθορῶν* ⟨Suidas *ἐπισκοπῶν*⟩. || 1186 *ἐν τίνι; ἢ διὰ τί;* | *ποίῳ λόγῳ εἰρημένῳ τοῦτον συνῆψας τὸν λόγον;*

ΗΛ. καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
ΟΡ. καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
ΗΛ. ὁθούνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
ΟΡ. τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
ΗΛ. τοῖς πατρός. εἶτα τοῖσδε δουλεύω βίᾳ.
ΟΡ. τίς γάρ σ' ἀνάγκῃ τῇδε προτρέπει βροτῶν;
ΗΛ. μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἐξισοῖ.
ΟΡ. τί δρῶσα; πότερα χερσὶν ἢ λύμῃ βίου;
ΗΛ. καὶ χερσὶ καὶ λύμαισι καὶ πᾶσιν κακοῖς.
ΟΡ. οὐδ' οὑπαρήξων οὐδ' ὁ κωλύσων πάρα;
ΗΛ. οὐ δῆθ'· ὃς ἦν γάρ μοι σὺ προύθηκας σποδόν.
ΟΡ. ὦ δύσποτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι.
ΗΛ. μόνος βροτῶν νυν ἴσθ' ἐποικτείρας ποτέ.
ΟΡ. μόνος γὰρ ἥκω τοῖς ἴσοις ἀλγῶν κακοῖς.
ΗΛ. οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
ΟΡ. ἐγὼ φράσαιμ' ἄν, εἰ τὸ τῶνδ' εὔνουν πάρα.
ΗΛ. ἀλλ' ἔστιν εὔνουν, ὥστε πρὸς πιστὰς ἐρεῖς.
ΟΡ. μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
ΗΛ. μὴ δῆτα πρὸς θεῶν τοῦτό μ' ἐργάσῃ, ξένε.
ΟΡ. πείθου λέγοντι, κοὐχ ἁμαρτήσῃ ποτέ.
ΗΛ. μή, πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.

1188 *γε* om. p(add. p[2])g | *φλαῦρα* Meinekius ad Oed. Col. p. 268 || 1189 *τῶνδ' ἔτ'* ς: *τῶνδέ τ'* Llpe *τῶν δέ τ'* g | *αἰσχίω* Nauckius || 1190 *ὅθ' οὕνεκ'* Ll *ὅθ' ὄυνεκ'* g | *μοι* ut videtur p, *εἰμὶ* corr. p[1] || 1191 *ἐξεσήμηνασ* Lpe: *ἐξεσήμηνεσ* L *ἐξεσήμανας* l *ἐξήμανασ* g | *κακῶν* g | *τοῖς τοῦ ποθ'; ἕν τοῦτ' ἐξεσήμηνας κακόν.* Wexius progr. sueriu. 1863 p. 19 || 1193 *γάρ σ'* Llpe (σ eraso): *γὰρ* Lg | *ἀνάγκῃ* l[1] vindobonensis ς: *ἀνάγκη* Llpeg(Σ) | *τῇδε* l | *προστρέπει* Reiskius || 1194 *ἔστ' ἴση* Froehlichius || 1196 *πᾶσιν* Llpe[2]: *πᾶσι* Leg || 1197 *ὁ παρήξων* g | *οὐδ'* lgς: *οὔθ'* Lpe || 1198 *δῆτ'* L(corr. L)lg | *γὰρ ἦν* pg | *προύθηκασ* e: *προῦθηκα* L *προῦθηκασ* L(aut L)lpg || 1199 *σ'* in litura e aut e[2] || 1200 om. g, in margine add. g[2] restitutis rectis personarum notis | *νυν* Brunckius: *νῦν* Llpeg | *ποτέ* Llpeg: *ἐμέ* ς Herwerdenus exerc. crit. p. 123 *με σύ* harleianus || 1201 *τοῖσ ἴσοισ* L: *τοῖσι σοῖσ* Llpeg || 1202 *οὐ μὴ δή* g *ἦ δή* vindobonensis | *ποτ'* g corr. g[1] | *ὑμῖν* p | *συγγενὴσ* e | *μὴ ἥκεισ* g *ἥκει* harleianus Morstadtius p. 35 || 1203 *εἴ τι* g || 1204 *ἐστὶν* Lp || 1205 *ἄλγοσ* g *γρ. ἄγγοσ* g[2] || 1207 *πείθου* Lpeg: *πειθοῦ* l *πιθοῦ* ς | *ἀραρτήσει* g *ἀραρτήσῃ* g[1] *ἁμαρτήσει* vulgo | *τόδε* Wecklinus art. p. 36 || 1208 affert Eustathius ad Hom. *Α* 427 p. 129 | *μ' ἐξέλῃ* Elmsleius ad Oed. reg. 1522. Eur. Heracl. 977

1193 *εἰς τοῦτο.* || 1194 *οὐκ ἴσα πράσσει τῷ τῆς μητρὸς ὀνόματι* ⟨Suidas *ἐξισοῖ*⟩.

ΟΡ. οὔ φημ' ἐάσειν. ΗΛ. ὢ τάλαιν' ἐγὼ σέθεν,
Ὀρέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.
ΟΡ. εὔφημα φώνει· πρὸς δίκης γὰρ οὐ στένεις.
ΗΛ. πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;
ΟΡ. οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
ΗΛ. οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
ΟΡ. ἄτιμος οὐδενός σύ· τοῦτο δ' οὐχὶ σόν.
ΗΛ. εἴπερ γ' Ὀρέστου σῶμα βαστάζω τόδε.
ΟΡ. ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
ΗΛ. ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;
ΟΡ. οὐκ ἔστι· τοῦ γὰρ ζῶντος οὐκ ἔστιν τάφος.
ΗΛ. πῶς εἶπας, ὦ παῖ; ΟΡ. ψεῦδος οὐδὲν ὧν λέγω.
ΗΛ. ἦ ζῇ γὰρ ἁνήρ; ΟΡ. εἴπερ ἔμψυχός γ' ἐγώ.
ΗΛ. ἦ γὰρ σὺ κεῖνος; ΟΡ. τήνδε προσβλέψασά μου
σφραγῖδα πατρὸς ἔκμαθ' εἰ σαφῆ λέγω.
ΗΛ. ὦ φίλτατον φῶς. ΟΡ. φίλτατον, συμμαρτυρῶ.
ΗΛ. ὦ φθέγμ' ἀφίκου; ΟΡ. μηκέτ' ἄλλοθεν πύθῃ.
ΗΛ. ἔχω σε χερσίν; ΟΡ. ὡς τὰ λοίπ' ἔχοις ἀεί.
ΗΛ. ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,

1209—1214 del. Schoellius, ὦ — 1211 φώνει del. Heimreichius progr. flensburg. 1865 p. 14 | ἐάσειν, ὦ τάλαιν', ἐγὼ σχεθεῖν. ΗΛ. Ὀρέστα, τῆς σῆς ἢ — ταφῆς; Wolffius | ὢ g: ὦ Llpe || 1210 olim del. Nauckius || 1211 οὐ γὰρ g || 1212 θανόντ' e (όντ' in litura e^{2}) θανότ' g corr. g^{2} || 1213 οὐ g | ταφήν Froehlichius || 1216 εἴπερ τ' l | τόδε; Morstadtius p. 35 || 1217 οὐ* L corr. Ŀ | γ' om. l σ' e. λόγοις Michaelis || 1219 ἔστιν pg: ἔστι Lle || 1220 del. Schoellius | ὦ τᾶν Nauckius | ψεῦδος δ' p || 1221 ἠλ. corr. ex ορ. e | ἢ g | ζῃ lg | ἀνήρ Brunckius: ἀνὴρ Lpeg γ' ἀνήρ l | ὥσπερ vindobonensis | γ' om. g || 1222. 1223 ΗΛ. ἦ γὰρ σὺ κεῖνος; ΟΡ. ἔκμαθ' εἰ σαφῆ λέγω. ΗΛ. σφραγῖδα πατρὸς ΟΡ. τήνδε προσβλέψασ' ἄθρει Nauckius (mél. gréco-rom. II p. 707) | τήνδε — 1225 ἀφίκου del. Schoellius | προσβλέψασά Lpe: προσβλέψουσά l προβλέψασά g προσβλέπουσά Meinekius ad Oed. Col. p. 268 | μοι Morstadtius p. 36 || 1223 σφραγῖδα πατρὸς Electrae tribuit Morstadtius | σφραγίδα e || 1224 ξυμμαρτυρῶ g || 1225 graviter corruptus videtur Nauckio | πύθηι L, π in litura φ vel ψ litterae || 1226 χερσίν pe: χεροῖν Llg γρ. καὶ χερσί Ŀ χειροῖν Neuius | ὡςα L ὡς τα corr. Ŀ | ἔχοισ L: ἔχεισ Ŀlp^{1}eg ἄχοισ p ἔχῃς ς. ἔχ' εἰσαεί Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 461

1211 ἡ πρὸς ἀντὶ τῆς μετά. || 1214 ὥστε μηδὲ ⟨Brunckius: μητὲ L⟩ ὀνομάζειν αὐτόν. || 1215 οὐ σοὶ προσῆκον ⟨ἀλλ' ἐμόν v, idem inter 1215 et 1216 add. L⟩. || 1217 κατεσκευασμένον· ἀσκήματα γὰρ τὰ κατασκευάσματα ⟨Suidas ἠσκημένον⟩. || 1223 τὸν δακτύλιον. || 1225 λείπει φίλτατον.

ὁρᾶτ' Ὀρέστην τόνδε, μηχαναῖσι μὲν
θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον.

ΧΟ. ὁρῶμεν, ὦ παῖ, κἀπὶ συμφοραῖσί μοι
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.

ΗΛ. ἰὼ γοναί, (στροφή)
γοναὶ σωμάτων ἐμοὶ φιλτάτων,
ἐμόλετ' ἀρτίως,
ἐφεύρετ', ἤλθετ', εἴδεθ' οὓς ἐχρῄζετε.

ΟΡ. πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.

ΗΛ. τί δ' ἔστιν;

ΟΡ. σιγᾶν ἄμεινον, μή τις ἔνδοθεν κλύῃ.

ΗΛ. † ἀλλ' οὐ τὰν Ἄρτεμιν τὰν αἰὲν ἀδμήταν
τόδε μὲν οὔ ποτ' ἀξιώσω τρέσαι

1228 ὁρᾶιτ' L | τόνδε — 1230 παῖ interpolationi tribuit Schoellius || 1229 om. g add. g² | δ' οὐ μηχαναῖς Meinekius δὲ μουμφανῶς Bergkius || 1230 ὁ ρῶ μεν L ὁρῶ μὲν g vindobonensis ς | κἀπὶ συμφορᾷ Thomas Mag. p. 341 || 1231 afferunt schol. Eur. Or. 61. Nicephorus schol. ad. Synes. p. 385 || 1232—1237 del. Schoellius | ἰὼ γοναὶ σωμάτων continuo versu L | γοναί om. L(add. L²) g γοναὶ superscr. η l || 1233 ἰὼ σωμάτων omisso altero γοναὶ Nauckius || 1235 ἐφηύρετ' Dindorfius | ἤλθετ' εἴδεσθ' l ἤλθετ' om. vindobonensis (add. m. 2) εἴδεθ', εἴλεθ' Heimsoethius ind. schol. bonn. 1869/70 p. V || 1236 σίγ' lg || 1237 ἔστιν p: ἐστὶ L ἐστὶν L²g ἐστι le || 1239 ἀλλ' οὐ μὰ τὰν le² ἀλλ' οὔ τ' ἂν g οὐ τὰν Seidlerus de vers. dochm. p. 100 μὰ τὰν Hartungus | τὴν g | ἀεὶ Arndtius progr. neobrandenb. 1844 p. 4 | ἀδαμάταν Neuius ἀδάματον Wolffius | ἀλλ' οὐ μὰ τὴν δέσποιναν Ἄρτεμιν θεάν vaticanus 1332 ἀλλ' οὐ μὰ τὴν ἄδμητον αἰὲν Ἄρτεμιν Hermannus apud Hauptium ind. lect. berol. 1865/6 p. 6 ἀλλ' οὐ τὰν θεὰν τὰν ἀεὶ ἀδαμάταν Steinhartus progr. portens. saecul. 1843 p. 7 ἀλλ' οὐ τὰν ἀδμήταν αἰὲν Ἄρτεμιν Wolffius ἀλλ' οὐ κόραν τὰν αἰὲν ἀδμήταν Διὸς Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 16

1230 * Eustathius ad Hom. Z 367 p. 647 καὶ ἡ συμφορὰ δὲ οὐ μόνον ἀποτρόπαιος ἀλλὰ καὶ ἀγαθή, ὡς δηλοῖ σὺν ἄλλοις καὶ ὁ εἰπὼν ἐπ' ἀγαθῷ τὸ 'ἐπὶ συμφοραῖς γεγηθὸς — ἄπο' ⟨cf. ad Π 786 p. 1086⟩. * || 1233 ἀντὶ ἑνικοῦ, γονὴ σώματος ἐμοὶ φιλτάτου, τοῦ Ἀγαμέμνονος. || 1235 ἀντὶ τοῦ ἐμέ. || 1236 ἀντὶ τοῦ σίγα ⟨gv: σῖγα L⟩ ἕως ἂν κατὰ νοῦν ἀποβῇ τὸ πᾶν. | παράκειται ἑκάστῳ τὸ οἰκεῖον· ἡ μὲν γὰρ γυνή τε οὖσα καὶ παρὰ ⟨om. Lgv: add. Iahnius⟩ προσδοκίαν ⟨προςδοκωσι g⟩ εὐτυχοῦσα θρασυτέρα ἐστίν· ὁ δὲ ἀσφαλὴς διὰ τὸ νῦν πρῶτον ἐπιχειρεῖν τοιούτῳ κινδύνῳ. || 1239 ἀλλ' οὐ τὰν Ἄρτεμιν: ἡ ἀπότασις πρὸς Κλυταιμνήστραν. ὅρα δὲ εἰ οἰκεῖα ταῦτα τῇ Ἠλέκτρᾳ παρόντος Ὀρέστου, ὁπότε καὶ μόνη οὖσα τοσοῦτον ἐθρασύνετο.

περισσὸν ἄχθος ἔνδον
γυναικῶν ὂν αἰεί.
ΟΡ. ὅρα γε μὲν δὴ κἀν γυναιξὶν ὡς Ἄρης
ἔνεστιν· εὖ δ' ἔξοισθα πειραθεῖσά που.
ΗΛ. ὀττοτοῖ ὀττοτοῖ,
ἀνέφελον ἐνέβαλες,
οὔ ποτε καταλύσιμον
οὐδέ ποτε λησόμενον,
ἁμέτερον
οἷον ἔφυ κακόν.
ΟΡ. ἔξοιδα καὶ ταῦτ'· ἀλλ' ὅταν παρουσία
φράζῃ, τότ' ἔργων τῶνδε μεμνῆσθαι χρεών.
ΗΛ. ὁ πᾶς ἐμοί, (ἀντιστρ.)
ὁ πᾶς ἂν πρέποι παρὼν ἐννέπειν
τάδε δίκᾳ χρόνος.
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.

1242 priori versui continuat L | αἰεί Ll: ἀεί peg || 1243—1258 del. Schoellius | μέντοι Blomfieldus Hermannus μὴν δὴ Spengelius philol. XX p. 173 | κἂν p καὶ g || 1244 ἔν ἔστιν g ἔν ἐστὶν g[1] | δ' om. g | πειρασθεῖσά g || 1245 ὀττοτοῖ ὀττοτοῖ Bergkius: ὀτοττοῖ L ὀττοτοί lg ὀττοτοῖ pe ὀτοτοτοτοῖ τοτοῖ Hermannus ὀτοτοτοῖ ὀτοτοτοῖ vel ὀτοτοτοτοτοτοτοτοῖ Gleditschius || 1246 ἐκνέφελον Heimsoethius krit. stud. I p. 374 | ἐνέβαλες Σ: ἐπέβαλεσ Ll[1]pg ἐνέφαλεσ l ἐπέβαλλεσ e ὑπέβαλες vaticanus 40 || 1247 κἀπιλύσιμον g || 1248 οὐ δή p | τλησόμενον g || 1251 ναὶ Hermannus παῖ Meinekius com. gr. IV p. 324 | ἔξοιδα, καὶ ταῦτ' ἀλλ' Spengelius philol. XX p. 174. ἔξοιδα καὐτός Hartungus Bergkius ἔξοιδ' ἐγὼ ταῦτ' Wecklinus art. p. 15 || 1252 φράζειν Musgravius || 1254 πρέπει lg οι superscr. l[1]g[1] | ἐνέπειν e || 1255 τάδε δίκᾳ χρόνος Σ Triclinius: τάδε δικαι ἀχρόνοσ L γρ. τάδε δίκα Ⅎ τάδε (τὰ δὲ g) δίκαια χρόνοσ lpeg || 1256 ἔχων L corr. Ⅎ ἐγὼ g ἔχω g[1]

1243 ὅρα γε μὲν δή: ἐπὶ τὴν Κλυταιμνήστραν τείνων φησὶν ὅτι τὸν Ἀγαμέμνονα ἀνεῖλεν. || 1245 ὀτοττοῖ: ἐπείπερ ὑπέμνησεν αὐτὴν τῆς τοῦ πατρὸς ἀναιρέσεως διὰ τῶν προειρημένων δύο στίχων, φησὶν ὅτι ἐνέβαλές μοι κακὸν ἀνέφελον, καλυφθῆναι μὴ δυνάμενον, ἀσκίαστον, ὡς ἔφην ⟨εἰπεῖν Michaelis⟩, διάδηλον κακόν. || 1246 ὑπὸ μηδεμιᾶς νεφέλης κρυβῆναι δυνάμενον ⟨Suidas ἀνέφελον⟩. || 1247 οὐ καταλυόμενον. ὁ δὲ νοῦς· ⟨δῆλόν ἐστιν μὴ καταλυόμενον μηδὲ add. g⟩ λήθης τυχεῖν μὴ ⟨om. gv⟩ δυνάμενον ⟨Suidas ἀνέφελον⟩. || 1251 ἀλλ' ὅταν παρουσία: ὅταν ἐπιτρέπῃ ὁ καιρὸς καὶ καλῇ· ἢ ὁπόταν ἡ παρουσία τούτων ᾖ καὶ ὁ καιρὸς ἐπιτήδειος. τὸ γὰρ διεξιέναι τὰ κατὰ τὸν Ἀγαμέμνονα δι' ὄχλου ἦν τοῖς θεαταῖς ἐπισταμένοις τὸ πᾶν καὶ περιμένουσιν ἰδεῖν τὰ ἐξ Ὀρέστου γινόμενα. || 1254 ὁ πᾶς χρόνος πρέπει ⟨g: πρέποι L⟩ τῇ δίκῃ λέγειν με ταῦτα.

ΟΡ. ξύμφημι κἀγώ. τοιγαροῦν σῴζου τόδε.
ΗΛ. τί δρῶσα;
ΟΡ. οὐ μή 'στι καιρὸς μή μακρὰν βούλου λέγειν.
ΗΛ. τίς οὖν ἂν ἀξίαν γε σοῦ πεφηνότος
μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων;
ἐπεί σε νῦν ἀφράστως
ἀέλπτως τ' ἐσεῖδον.
ΟΡ. τότ' εἶδες, ὅτε θεοί μ' ἐπώτρυναν μολεῖν
⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –
ΗΛ. ἔφρασας ὑπερτέραν
τᾶς πάρος ἔτι χάριτος,
εἴ σε θεὸς ἐπόρισεν
ἁμέτερα πρὸς μέλαθρα·
δαιμόνιον
αὐτὸ τίθημ' ἐγώ.
ΟΡ. τὰ μέν σ' ὀκνῶ χαίρουσαν εἰργαθεῖν, τὰ δὲ

1257 *σώιζου* L: *σώζου* lpeg || 1259 *μὴ 'στὶ* e | *μακρὰν* deleto *ν* e || 1260 *τί* p | *οὖν ἂν* in litura vindobonensis | *ἂν ἀξίαν* lpe: *ἀξίαν* L(*ἂν* add. L²)g Seidlerus de vers. dochm. p. 100 Steinhartus progr. portens. saecul. 1843 p. 7 *ἀνταξίαν* Arndtius progr. neobrandenb. 1844 p. 4 *ἀξίων* vel *ἀντ' ἀξίων* Wolffius | *σοῦ γε* Seidlerus Steinhartus Arndtius. *σοῦ γ' ἀμπεφηνότος* Dindorfius || 1261 *μεταβάλλοιτ'* ge *μεταλάβοιτ'* Wolffius | *σιγᾶν* egg² *σιγὴν* e¹ *σιγὰν* g¹ || 1262 *σ** e, corr. e² || 1263 *τ'* om. p || 1264 *ἐπώτρυναν* Brunckius: *ὤτρυναν* Llpeg | post 1264 trimetrum excidisse vidit Brunckius (*αὐτοὶ γεγῶτες τῆσδε τῆς ὁδοῦ βραβῆς* Hermannus *δόμους πατρῴους· πάντα δαίμονος τίθει* Ahrensius progr. coburg. 1859 p. 7 *δόλοισι κλέψαντ' εἰς πατρῷα δώματα* Wolffius) || 1265—1285 interpolatori tribuit Schoellius || 1266 *τᾶσ* e (*ασ* add. e²) *τῆσ* g | *χάριτοσ* l *χάριτα* l¹ || 1267 *εἶτε θεὸσ* e | *ἐπόρισεν* Dindorfius Froehlichius (philol. XX p. 174): *ἐπόρσεν* L corr. ex *ἐπῶρσεν* Llpeg² *ἐπῶσεν* g *ἐπῶρσέ τις* vel *ἐπούρισεν* ⟨Hesychius *ἐπούρισεν· ὥρμησεν, ἀπέπεμψεν*⟩ vel potius *ἐβίβασεν* Hermannus. *εἴ γέ σε θεὸς ἐπῶρσ'* vel *εἴ γέ σ'* (s. *εἴ σέ γ'*) *ἐπῶρσε θεὸς* Seidlerus de vers. dochm. p. 65 *εἰ θεὸς ἐπῶρσέ σε* Bergkius || 1268 *ἁμ***α* L corr. L *ἁμετέρα* e | *μέλεθρα* l || 1269 inter *δαιμόνιον* et *αὐτὸ* rasura e || 1270 *αὐτό τι ῥῆμ' ἔχω* Wolffius *αὐτὰ τίθεμ' ἐγώ* Schuppius ztschr. f. oest. gymn. 1863 p. 693 || 1271 *εἰργαθεῖν* Elmsleius ad Eur. Med. 186: *εἰργάθειν* Llpeg

1257 *οἷον* ⟨Michaelis: *ποῖον;* L, om. g⟩ *τὸ ἐλευθεροστομεῖν. τοιγαροῦν ἀντέχου τῆς ἐλευθεροστομίας.* || 1259 *ἀντὶ τοῦ μὴ μακρῶς.* || 1260 ⟨*τίς οὖν ἀξίαν γε σοῦ*: add. g⟩ *τίς ἄν, φησί, σοῦ φανέντος δικαίως ἕλοιτο ἀντὶ λόγων σιωπήν;* ⟨*ἢ τίς* ⟨*ἥτις* g⟩ *τοῦ καιροῦ καλοῦντος καὶ προτρέποντος λέγειν τὴν σιωπὴν προκρίνας τὰ εὔλογα ἀφανίσειε* ⟨*ἀφανίσῃ* g⟩. add. g⟩ || 1265 *λείπει τὸ χάριν.* || 1266 *τῆς σῆς παρουσίας.*

δέδοικα λίαν ἡδονῇ νικωμένην.
ΗΛ. *ἰὼ χρόνῳ μακρῷ φιλτάταν ὁδὸν* (ἐπῳδός)
ἐπαξιώσας ὧδέ μοι φανῆναι,
μή τί με, πολύπονον ὧδ' ἰδὼν
ΟΡ. *τί μὴ ποήσω;* ΗΛ. *μή μ' ἀποστερήσῃς*
τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.
ΟΡ. *ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.*
ΗΛ. *ξυναινεῖς;*
ΟΡ. *τί μὴν οὔ;*
ΗΛ. *ὦ φίλ', ὅτ' ἔκλυον ἂν*
ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν,
ἔσχον ὀργὰν ἄναυδον
οὐδὲ σὺν βοᾷ [κλύουσα], τάλαινα·

1273 *μακρῷ γε* Triclinius Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 16, del. IHHSchmidtius ant. compositionsl. p. XL. *ὁδὸν* sequenti versui tribuit Dindorfius || 1275 *τι* lg | *πολύπονον* ienensis: *πολύστονον* Llpeg *πολύστον'* Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 405 FCKirchhoffius ztschr. f. gymn.-w. 1866 p. 350 | *ὧδ' ἰδὼν* eg: *τῶιδ' ἰδὼν* eraso *τ* L *τῷδ' ἰδὼν* l *ᾧδ' ἰδὼν* l^1 *ὧδ' ἰδὼν* p *γρ. ὧδϊδὼν* L^2 (*ι* ex *ει* facto) || 1276 *ποιήσω* Llpeg | *ΗΛ. — ἀποστερήσηισ* separato versu L || 1277 ante *τῶν* rasura in e | *ἡδονὴν* e *ἡδονῇ* Σ? *ἁδονᾶν* Porsonus ad Eur. Med. 734 *ἁδονὰν* Dindorfius | *μ' ἑλέσθαι* Pflugkius ztschr. f. alt.-wiss. 1836 p. 304 || 1278 *κἂν* pe (eraso `): *κ'ὰν* L *κ'ἂν* L^2 *κὰν* l. *κάρτ' ἂν* g. *τἂν* Monkius | *ἄλλοισ* l | *θυ***μην* p corr. p^1 *θυμοίην* g corr. g^2 || 1280 *μὴν* Seidlerus de vers. dochm. p. 136: *μὴ* Llpeg | *ο** p corr. p^1 || 1281 *φίλ', ὅτ'* Heimsoethius ind. schol. bonn. 1868 p. VIII: *φίλαι* LlpegΣ | *ἂν* Σp^{1}e: *ἄν* Llpg *ἄρ ἂν* Hermannus || 1282 *ἂν* Lp: *ἄν* l *'ἂν* e *ἂν* g || 1283 *ὄργανον* vindobonensis *ὁρμὰν* Blomfieldus | *οὐκ ἄναυδον* Σ || 1284 *κλύουσα* del. Neuius | *βοᾷ λακοῦσ' ἐτόλμων* Heimsoethius || 1281—84 *ὦ φίλαι — αὐδάν. ἂν* (vel *ἃς*) *ἔσχον — κλύουσα, ἁ τάλαινα* Hermannus (*αὐδάν. γλώσσας δὲ πῶς ἂν εὔφρον' ἔσχον ὁρμὰν ἄναυδον — κλύουσα;* idem apud Wunderum) *ὦ φίλαι, ἂν — ἔσχον ὁρμᾶν πάντ' ἄναυδον — βοᾷ 'κλύον τάλαινα* Steinhartus progr. portens. saecul. 1843 p. 7 *ὦ φίλαι, οἵαν ἔκλυον ἐγὼ — ὀργὰν οὔτ' ἄναυδον* Wolffius (de schol. laur. p. 36) *ὦ φίλ', οἵαν ἔκλυον, ἂν — αὐδάν. ἃς ἔσχον — ἄναυδος — τάλαινα* Schoenius n. rhein. mus. VI p. 304 *ὦ φίλαι — αὐδάν. οὐδ' ἂν ἔσχον — βοᾷ κλύουσ' ἁ τάλαινα* Arndtius progr. neobrandenb. 1854 p. 15 *ὦ φίλαι — αὐδάν. ἄναυδον οὐδὲ ξυνέσχον ὀργὰν τὸ μὴ βοᾶν κλύουσα τάλαινα* Bergkius ⟨Hesychius *οὐ συνέσχεν ὀργήν· οὐ κατεκράτησεν ὀργήν*⟩ *τὰν σὰν ὅτ' ὦ φίλ' ἔκλυον, — αὐδάν, πρῶτον μὲν ἔσχον — κλύουσα δεινά, νῦν* Gleditschius

1276 *μὴ ἀποστερήσῃς με, φησί, τοῦ μεθέσθαί σου* ⟨om. Lv *σοι* g⟩ *τῶν προσώπων καὶ ἀπαλλαγῆναι μετὰ ἡδονῆς, ὅπερ μοι παρέσται ἐπιπλέον μετεχούσῃ σου καὶ ἀπολαυούσῃ· οὕτω γὰρ ἀπαλλαγήσομαι μετὰ ἡδονῆς, ἐὰν δὲ ἤδη ἀποστερήσῃς σαυτοῦ, μετὰ λύπης ἀπαλλαγήσομαι.* || 1278 *τοῖς μὴ χαίρουσι τῇ ἐμῇ παρουσίᾳ.* || 1281 *ὦ φίλαι, ἔκλυον ἂν ἐγώ: ὦ φίλαι, οἵαν ἤκουσα φήμην περὶ τοῦ*

νῦν δ' ἔχω σε, προυφάνης δὲ
φιλτάταν ἔχων πρόσοψιν,
ἅς ἐγὼ οὐδ' ἂν ἐν κακοῖς λαθοίμαν.

ΟΡ. τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες,
[καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με,
μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
ἀντλεῖ, τὰ δ' ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην.]
χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.
ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ
σήμαιν', ὅπου φανέντες ἢ κεκρυμμένοι
γελῶντας ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ·
οὕτω δ', ὅπως μήτηρ σε μὴ 'πιγνώσεται
φαιδρῷ προσώπῳ νῷν ἐπελθόντοιν δόμους.
ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ
στέναζ'· ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται καὶ γελᾶν ἐλευθέρως.

ΗΛ. ἀλλ', ὦ κασίγνηθ', ὧδ' ὅπως καὶ σοὶ φίλον
καὶ τοὐμὸν ἔσται τῇδ'· ἐπεὶ τὰς ἡδονὰς

1285 προὐφάνησ Llpeg || 1287 ἐγὼ* ὀυδ eraso ut videtur signo interpunctionis L ἔγω οὐδ' g corr. g[1] | λαθοίμαν L: λαθοίμην p λάθοιμ'ἂν l λάθοιμ' ἂν eg || 1288—1299 affert Suidas (περισσά) | ἀντὶ τοῦ περισσεύοντα θεραπεύοντα superscr. g[2] | μέθεσ g || 1289—1292 del. Arndtius progr. neobrandenb. 1854 p. 16 Ahrensius progr. coburg. 1859 p. 8 | τεδασκέ e, corr. e[1] || 1291 τά δ' pe || 1292 ἔργου Σ? Reiskius Brunckius Froehlichius πόνου Dindorfius | τοι Wolffius | ἐξαίροι Suidae (χρόνου πόδα) codices nonnulli, ubi Kusterus ἐξαιροῖ || 1296 οὕτω ς: οὕτωσ Llpeg || 1297 ἐπελθόντοιν Elpe: ἐπελθόντων Lg ἐσελθόντοιν Nauckius || 1298—1300 del. Schoellius | *π' p corr. p[1] ἔτ' Morstadtius p. 37 | λελεγμένηι Elpe: δεδεγμένη L λεγομένη g δεδειγμένη Nauckius δεδηγμένη Morstadtius || 1300 ἐλευθέροις Nauckius || 1301 ΗΛ. om. g | κασίγνητ' g || 1302 ἔσται· τάσδ' ἐπεὶ Morstadtius

ἀδελφοῦ ἀπροσδόκητον, ἐφ' ᾗ οὔτε σιωπῆσαι ἂν ⟨om. v⟩ ἠδυνάμην οὔτε ἀκούσασα βοῆσαι· καὶ γὰρ ἡ ἡδονὴ προετρέπετο αὐτὴν βοῆσαι καὶ ὁ φόβος ὁ περὶ τὸν Αἴγισθον καὶ τὴν μητέρα σιωπῆσαι· ὅμως δὲ ἔχω σε φιλτάτην ἔχοντα πρόσοψιν. | ὁ νοῦς· ἔκλυον αὐδὴν ἣν οὐδέποτε ἤλπισα ⟨ἀκοῦσαι add. g⟩ καὶ ἔσχον τρόπον ἄναυδον [τῷ ⟨Lg: τὸ v⟩ μὴ δύνασθαι ἀκούειν] ⟨del. Iahnius⟩ οὐδὲ βοῶντός τινος ἀκούειν δυναμένη· οὕτως ἐξέστην ἐμαυτῆς. λέγει δὲ περὶ τῆς ἀπωλείας τοῦ Ὀρέστου ὅτε ἤκουσεν. || 1291 ἐμφαντικὸν τὸ συνεχὲς τῆς ταυτολογίας· ἤρκει γὰρ κἂν ἓν τῶν λελεγμένων. || 1292 ἀφαιρεῖται γάρ, φησίν, τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι τῶν λόγων ἡ ἀδολεσχία ⟨Suidas περισσά. χρόνου πόδα⟩.

πρὸς σοῦ λαβοῦσα κοὐκ ἐμὰς ἐκτησάμην.
κοὐδ' ἄν σε λυπήσασα δεξαίμην βραχὺ
αὐτὴ μέγ' εὑρεῖν κέρδος· οὐ γὰρ ἂν καλῶς
ὑπηρετοίην τῷ παρόντι δαίμονι.
ἀλλ' οἶσθα μὲν τἀνθένδε, πῶς γὰρ οὔ; κλύων
ὁθούνεκ' Αἴγισθος μὲν οὐ κατὰ στέγας,
μήτηρ δ' ἐν οἴκοις· ἣν σὺ μὴ δείσῃς ποθ' ὡς
γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα.
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι,
κἀπεί σ' ἐσεῖδον, οὔ ποτ' ἐκλήξω χαρᾷ
δακρυρροοῦσα. πῶς γὰρ ἂν λήξαιμ' ἐγώ,
ἥτις μιᾷ σε τῇδ' ὁδῷ θανόντα τε
καὶ ζῶντ' ἐσεῖδον; εἴργασαι δέ μ' ἄσκοπα·
ὥστ' εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
τέρας νομίζειν αὐτό, πιστεύειν δ' ὁρᾶν.
ὅτ' οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδόν,
ἄρχ' αὐτὸς ὥς σοι θυμός. ὡς ἐγὼ μόνη
οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς
ἔσωσ' ἐμαυτήν, ἢ καλῶς ἀπωλόμην.

ΟΡ. σιγᾶν ἐπῄνεσ'· ὡς ἐπ' ἐξόδῳ κλύω

1304 κ'οὐδ' ἂν Ll κοὐδέν g | λυπήσασι L corr. L² | δεξαίμην palatinus: λεξαίμην L γρ. βουλοίμην βραχύ L² βουλοίμην pe βουλοίμαν l βουλόμην g || 1305 ἂν om. g || 1306 ὑπηρετοίην Musgravius Elmsleius ad Eur. Heracl. 1017. Soph. Oed. Col. 491: ὑπηρετοίμην Llpeg ὑπηρετοῖμ' ἂν Meinekius ad Oed. Col. p. 269 || 1308 ὅθ' οὕνεκ' Ll ὅθ' ὅυνεκ' g || 1309 πόθ' lg || 1310 τοὐμὸν φαιδρὸν Lg || 1311 τε om. L τὲ L²l || 1312 σ' ἐσεῖδον p¹ in litura σέ γ' εἶδον Morstadtius | ἐκ*λήξω L | χαρᾷ Schaeferus: χαρᾶς Llpeg || 1313 ἂν om. g | ἐγ*ο* L corr. L² || 1314 τῇ l τῇθ' g | μιᾳ σ' ἐν ἡμέρᾳ Froehlichius μιᾳ σε τῇδ' ἔῳ Nauckius || 1315 εἴργασω L corr. L² || 1318—1321 del. Schoellius | ἡμὶν pe: ἡμῖν L ἡμὶν L² ἡμῖν lg | ἐξίκοισ g || 1319 ὡσ σοὶ l ὡσ σοι g || 1321 ἠ e, corr. e² || 1322 haec choro dat Hermannus conlatis scholiis, interpolatori tribuit Schoellius | ὧσ ἐπεξόδῳ g | τινὸς Froehlichius Heimsoethius ind. schol bonn. 1866/7 p. V

1307 εἰκὸς γὰρ καὶ ἔξωθεν ταῦτα πεπύσθαι τὸν Ὀρέστην. || 1310 * Eustathius ad Hom. Δ 141 p. 455 τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζων τὸ μέρος· ᾧ τρόπῳ καὶ βοῦς τὸ δέρμα, ἡ βύρσα δηλαδή, καὶ παρὰ Σοφοκλεῖ *γέλωτι φαιδρὸν κάρα* ἤτοι πρόσωπον. * || 1311 πρὸς τὴν μητέρα δηλονότι. || 1322 τινὲς τὸν χορόν φασι λέγειν ταῦτα. ⟨haec ad 1326 adscripta esse in g, additis τοῦ παιδαγωγοῦ δὲ εἰσί, testatur Dindorfius; nihil enotavit Hinckius.⟩ | τοῦ παιδαγωγοῦ μέλλοντος ἐξιέναι, ὁ Ὀρέστης αἰσθόμενος τοῦ ψόφου, ἀγνοῶν κελεύει αὐτὴν σιγᾶν· διὸ καὶ Ἠλέκτρα ὡς ξένοις διαλέγεται.

τῶν ἔνδοθεν χωροῦντος. *ΗΛ.* εἴσιτ', ὦ ξένοι,
ἄλλως τε καὶ φέροντες οἷ' ἂν οὔτε τις
δόμων ἀπώσαιτ' οὔτ' ἂν ἡσθείη λαβών.

ΠΑΙ. ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι,
πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι,
ἢ νοῦς ἔνεστιν οὔτις ὑμῖν ἐγγενής,
ὅτ' οὐ παρ' αὐτοῖς, ἀλλ' ἐν αὐτοῖσιν κακοῖς
τοῖσιν μεγίστοις ὄντες οὐ γιγνώσκετε;
ἀλλ' εἰ σταθμοῖσι τοῖσδε μὴ 'κύρουν ἐγὼ
πάλαι φυλάσσων, ἦν ἂν ἡμὶν ἐν δόμοις
τὰ δρώμεν' ὑμῶν πρόσθεν ἢ τὰ σώματα·
νῦν δ' εὐλάβειαν τῶνδε προυθέμην ἐγώ.
καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων
καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς
εἴσω παρέλθεθ', ὡς τὸ μὲν μέλλειν κακὸν
ἐν τοῖς τοιούτοις ἔστ', ἀπηλλάχθαι δ' ἀκμή.

1323 *χωρούντων* g | *εἰσέλθετε* g in marg. || 1324 *οἷ' ἂν* Ερe: *οἷαν* L *οἷαν* Εlg || 1325 *ἀπώσετ'* Llg corr. Εl[1] | *οὐδ'* l *οὐτ'* g | *ηἰσθείη* L *ἡἰσθείη* Ε *ἡισθείηι* l || 1326 affert Eustathius ad Hom. *β* 319 p. 1447. *ξ* 29 p. 1749 || 1327—1334 del. Schoellius || 1328 *οὐκέθ'* Schenkelius ztschr. f. oest. gymn. 1869 p. 539 | *ὑμῖν* Llpe[1]g: *ἡμῖν* e *ὗμιν* Bergkius *ὑμὶν* Wolffius | *ἐγγενὴς* Σpe: *ἐκγενὴς* Ll[1] *ἐκγενετὴς* l *εὐγενὴσ* g *γρ.* *ἔκγενε* superscr. *ὴς* g[2] *ἐμμελής* Morstadtius p. 38 || 1329 *παρ' αὐτοῖς* Nauckius ASeyffertus progr. brandenb. 1868 p. 10: *παρ' αὐτοῖς* Llpeg *παραυτίκ'* Meinekius ad Oed. Col. p. 269 *παρ' αὐλοῖς* Arnoldus soph. rett. p. 54 *παρ' ἄλλοις* Eggertus quaest. soph. p. 35 *πέρα πως* Wecklinus art. p. 113 | *ἀλλ' — μεγίστοις* del. Nauckius | *αὐτοῖσι* le *αὐτοῖσ* g || 1330 *τοῖσι* e *τοῖσ* g *ἤδη* Meinekius | *γινώσκετε* Llpeg || 1331 *σταθμοῖσιν* L | *κύρουν* leg || 1332 *ἡμῖν* l: *ἡμῖ** p *ὑμῖν* Lp[1]eg *ὗμιν* Bergkius *ὑμὶν* Wolffius || 1333 *ὑμῖν* Morstadtius *οἶμαι* Nauckius *ἡμῶν* Σ? Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 465 || 1334 del. Ahrensius progr. coburg. 1859 p. 12 Morstadtius | *προυθέμην* g: *προὐθέμην* Llpe || 1335 *ἀπαλλαχθέντεσ* g || 1336 *ἀπλείστου* Lp *ἀπαύστου* Meinekius ad Oed. Col. p. 269 *ἀλήκτου* Wecklinus art. p. 34 | *συγχαρᾶι* L corr. Ε | *σὺν βοῇ χαρᾶς* Purgoldus || 1337 *παρέλθεθ'* e, *παρέλθεκ'* dein *παρέλθ'* e[1] | *ὧσ* l | *μέλειν* Lg *γρ.* *μέλλειν* g[2] | *τὸ μὴ μέλλειν ἀκμή* deletis *κακὸν — δ'* Nauckius (mél. gréco-rom. III p. 101)

1324 *τοιαύτην ἀγγελίαν φέροντες, ἣν οὐκ ἂν τις ἀπώσαιτο, λαβεῖν τὰ ὀστᾶ, οὐδὲ ἡδέως λάβοι, ὅτι κακή ἐστιν.* || 1326 *ἐπιτιμᾷ αὐτοῖς, ὅτι φανεροὶ τοῖς ἐχθροῖς γίνονται.* || 1328 *ἐγγεγενημένος. ἢ ἄξιος τοῦ γένους.* || 1329 ⟨*τὸ παρ' αὐτοῖς πλησιότητά τινα δηλοῖ, τὸ δὲ ἐν αὐτοῖς ἔνωσιν ἀκριβῆ.* add. v⟩ || 1332 *οἷον πρὶν ἰδεῖν τὰ σώματα ὑμῶν οἱ ἐχθροὶ ἔγνωσαν ἂν τὰ βουλεύματα τῆς ψυχῆς.* || 1338 *καιρούς.*

ΟΡ. πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι;
ΠΑΙ. καλῶς· ὑπάρχει γάρ σε μὴ γνῶναί τινα.
ΟΡ. ἤγγειλας, ὡς ἔοικεν, ὡς τεθνηκότα.
ΠΑΙ. εἷς τῶν ἐν Ἅιδου μάνθαν' ἐνθάδ' ὢν ἀνήρ.
ΟΡ. χαίρουσιν οὖν τούτοισιν; ἢ τίνες λόγοι;
ΠΑΙ. τελουμένων εἴποιμ' ἄν· ὡς δὲ νῦν ἔχει,
καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς.
ΗΛ. τίς οὗτός ἐστ', ἀδελφέ; πρὸς θεῶν φράσον.
ΟΡ. οὐχὶ ξυνίῃς; ΗΛ. οὐδέ γ' ἐς θυμὸν φέρω.
ΟΡ. οὐκ οἶσθ' ὅτῳ μ' ἔδωκας εἰς χέρας ποτέ;
ΗΛ. ποίῳ; τί φωνεῖς; ΟΡ. οὗ τὸ Φωκέων πέδον
ὑπεξεπέμφθην σῇ προμηθίᾳ χεροῖν.
ΗΛ. ἦ κεῖνος οὗτος, ὅν ποτ' ἐκ πολλῶν ἐγὼ
μόνον προσεῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
ΟΡ. ὅδ' ἐστί· μή μ' ἔλεγχε πλείοσιν λόγοις.
ΗΛ. ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
Ἀγαμέμνονος, πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
ὃς τόνδε κἄμ' ἔσωσας ἐκ πολλῶν πόνων;
ὦ φίλταται μὲν χεῖρες, ἥδιστον δ' ἔχων

1339—1345 del. Schoellius | *σοι* g || 1340—1344 del. Ahrensius p. 11 | *ΠΑΙ.* add. e² | *με* Doederlinus Morstadtius | *γνῶιναι* eraso *ι* L || 1341 *ὡς ἔοικέ μ'* Wunderus *ὡς ἔοικ', ἔμ'* Wecklinus art. p. 139 *ὡς σ' ἄνωγα, μ'* Morstadtius || 1343 *οὖν* lpe: *ἐν* Lg || 1344 *ἂν ὡς τὰ νῦν ἔχει* deleto 1345 Deventerius de interpol. Soph. p. 60 || 1345 *τὰ'κείνων* apostropho eraso L *τᾶκείνων* l *τἀκείνων* peg || 1346 *οὗτοσ ἔστ'* g || 1347 del. Schoellius | *ξυνίῃς* ς: *ξυνίεισ* Llpeg || 1348—1354 del. Schoellius | *ἐς* Dindorfius | *χέρασ* L: *χείρασ* l *χεῖρασ* peg || 1349. 1350 corrupti Nauckio iudice, qui alterum versum sic constituit *ὑπεξεπέμφθην ἐς τὸ Φωκέων πέδον* || 1350 *ὑπεξεπέμφην* p | *προμηθίαι* L: *προμηθία* g *προμηθείαι* lpe || 1351 *ὃν τότ'* Meinekius ad Oed. Col. p. 270 || 1352 *προσηῦρον* Dindorfius || 1353 *πλείοσι* e || 1355 del. Nauckius | *ἀγεμέμνονοσ* l | *ἦ* L corr. E | *κεῖνοσ*εἶ** L || 1357 *φιλτάτας μὲν χεῖρας* Bothius | *δ' ἐ*ὼν* e, corr. e¹ *δὲ σῶν* Wieckius progr. merseburg. 1825 p. 34 *δ' ἐμοὶ* Schneidewinus *δ' ἐμῶν πόνων* FGSchmidtius progr. magdeburg. 1855 p. 21 *δὲ νῷν* Emperius Bergkius *δ' ἔχειν* Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 467 CStuerenburgius quaest. soph. p. 42

1344 *θαυμαστῶς ὑπὲρ τοῦ μὴ ἐπιπλέον διατρίβειν, ὡς καὶ Ὀρέστης ἐν τοῖς ἔμπροσθεν* ⟨1288⟩ *'τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες'. | ὁ δὲ νοῦς· καὶ τὰ μὴ καλῶς ἀλλὰ κακῶς αὐτοῖς ἔχοντα καὶ αὐτὰ νῦν καλῶς ἔχει, ἕως οὐδέπω τιμωρίας τυγχάνουσιν· ἅπερ λεγόμενα πρὸς ἄκρον ἐστὶ παροξυντικά.* || 1346 *τίς οὗτός ἐστ', ἀδελφέ*: *οὐκ ἠρώτησε τοῦτο Ὀρέστην πρότερον ἡ Ἠλέκτρα ὑπὸ τῆς χαρᾶς, ἀλλ' ἐφύλαξεν νῦν ὁ ποιητὴς εἰς ἕτερον ἀναγνωρισμόν.* || 1349 *οὗ χεροῖν εἰς τὸ Φωκέων πέδον ὑπεξεπέμφθην σῇ προμηθίᾳ.*

ποδῶν ὑπηρέτημα, πῶς οὕτω πάλαι
ξυνών μ' ἔληθες οὐδ' ἔφαινες, ἀλλά με
λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστ' ἐμοί;
χαῖρ' ὦ πάτερ· πατέρα γὰρ εἰσορᾶν δοκῶ·
χαῖρ', ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
ἤχθηρα κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.

ΠΑΙ. ἀρκεῖν δοκεῖ μοι· τοὺς γὰρ ἐν μέσῳ λόγους,
πολλαὶ κυκλοῦνται νύκτες ἡμέραι τ' ἴσαι
αἳ ταῦτά σοι δείξουσιν, Ἠλέκτρα, σαφῆ.
σφῷν δ' ἐννέπω 'γὼ τοῖν παρεστώτοιν ὅτι
νῦν καιρὸς ἔρδειν· νῦν Κλυταιμνήστρα μόνη,
νῦν οὔτις ἀνδρῶν ἔνδον· εἰ δ' ἐφέξετον,
φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις
ἄλλοισι τούτων πλείοσιν μαχούμενοι.

ΟΡ. οὐκ ἂν μακρῶν ἔθ' ἡμὶν οὐδὲν ἂν λόγων,
Πυλάδη, τόδ' εἴη τοὔργον, ἀλλ' ὅσον τάχος
χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἕδη
θεῶν, ὅσοιπερ πρόπυλα ναίουσιν τάδε.

ΗΛ. ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ

1358 ὑπηρέτησα g corr. g[1] || 1359 ἔφανεσ p || 1360 ἀπώλυσ eg μ' ἀπώλλυς deleto 1359 Nauckius | ἥδιστά μοι Kvíčala p. 471 Wecklinus art. p. 15 || 1361 χαίρ' e | πάτερ μοι· πατέρα γάρ σ' ὁρᾶν δοκῶ Nauckius (eurip. stud. II p. 58) | πατέρα — χαῖρ' om. l | σ' ὁρᾶν g ὡς ὁρᾶν Meinekius ad Oed. Col. p. 271 | δοκῶι L || 1362 ἴσθι δ' Elpe: ἴσθ' L ἴσθι g | σ' om. L(add. L[2])g || 1363 ἔχθηρα g || 1365 κυκλοῦνται L l(superscr.)g[1]: κυκλωῦνται g κυκλοῦσι L[2]lpe || 1366 ταυτά σοι p corr. p[2] ταῦτα σε g || 1367 σφῶν L | 'γὼ Hermannus: γε Lpeg om. l || 1368 ἔρδειν lpeg || 1369 οὔτοσ g corr. g[1] || 1370 ὡς καὶ πλείοσιν (deletis τούτοις — τούτων) Schenkelius ztschr. f. oest. gymn. 1869 p. 539 | σοφοτέροισ e || 1371 τούτων παλαισταῖς πλείοσιν vel potius ὡς ἄλλοισι καὶ σοφωτέροις τῶν νῦν παλαισταῖς πλείοσιν Nauckius | πλείοσι peg || 1372 ΟΡ. om. e, add. e[2] | οὐκοῦν Reiskius | ἧμιν L ἡμῖν lg | ἐνδεὲς λόγων Froehlichius ἐνδέον Nauckius Froehlichius philol. XX p. 174 || 1373 τοὔργον lpeg || 1374 προσκυνήσανθ' Thomas Magister || 1375 περ om. peg | πρόπυλον p corr. p[1] | ναίουσι eg || 1376 ΗΛ. om. g || 1377—1383 del. Schoellius | τε om. g

1363 ⟨ἤχθηρα: ἐμίσησε μὲν διότι ἐκήρυξε τὸν τοῦ Ὀρέστου φόνον, ἐφίλησε δὲ ὅτι ἠσκημένως τοῦτο ἐποίησε. add. v⟩ || 1366 τὰ κατ' ἐμέ, φησίν. || 1368 ἐνταῦθα ἀνεκάλυψε τὸ χρήσιμον τῆς ἀποδημίας Αἰγίσθου. || 1369 μελλήσετε. || 1372 τὸ οὐδὲν παρέλκει. || 1374 * Thomas Magister p. 139 R. ἕδος οὐ μόνον τὸ ἔδαφος ἀλλὰ καὶ ἡ εἰκών. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ 'πατρῷα — θεῶν'. *

ἀφ' ὧν ἔχοιμι λιπαρεῖ προὔστην χερί.
νῦν δ', ὦ Λύκει' Ἄπολλον, ἐξ οἵων ἔχω
αἰτῶ, προπίτνω, λίσσομαι, γενοῦ πρόφρων
ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων,
καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια
τῆς δυσσεβείας οἷα δωροῦνται θεοί.

ΧΟ. ἴδεθ' ὅποι προνέμεται (στροφή)
τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης.
βεβᾶσιν ἄρτι δωμάτων ὑπόστεγοι
μετάδρομοι κακῶν πανουργημάτων

1378 ἀφ' ὧν ἔχοιμι corrupta videntur Wolffio | λιπαρῆ g | πρόστην L προὔστην Elpeg, suspectum Nauckio || 1379 ὠνύκο' g corr. g¹ || 1380 αἰτῶ σε Bergkius | προπίτνω Elmsleius ad Eur. Heracl. 618: προ*-πίτνω L προπιτνῶ Epe προσπιτνῶ lg Suidas || 1381 ἡμὶν e || 1383 τῆσ* L, σ litterae particulam rescripsit E | δυσεβείασ e | οἷα l || 1384 ΧΟ. om. g | ὅποι Schneidewinus: ὅπου Llpeg ὅπη parisinus 2820 (D) ὅπως Bergkius Wolffius || 1385 ὁ Σ? Michaelis | δυσάρεστον MSchmidtius philol. XIV p. 469 Herwerdenus anal. crit. p. 12 | αἷμα φυσσῶν vindobonensis αἷμ' ἀφύσσων MSchmidtius || 1386 βεβάσι δ' vindobonensis.

1378 ἀντὶ τοῦ λιπαρῶς, συνεχῶς ⟨καὶ λιπαρεῖ· πλουσίᾳ, ἀφθόνῳ add. Suidas λιπαρεῖ χειρί⟩. || 1379 ⟨ὡς ἔστι μοι δυνατόν add. Suidas⟩ ὡς δυνάμεως ἔχω ⟨Suidas ἐξ οἵων ἔχω⟩. | λόγοις ἀξιοῦν, οὐ θύειν. || 1382 τοὺς μισθούς ⟨Suidas ἐπιτίμια. τἀπιτίμια⟩. || 1384 τοῦ Ὀρέστου εἰσελθόντος ὁ χορὸς ταῦτά φησιν. | ἴδεθ' ὅπου προνέμεται: εἰσεληλύθασι μὲν ἐνταῦθα οἱ περὶ Ὀρέστην καὶ Πυλάδην. τοῦτο δὲ ἤτοι ⟨L: om. gv⟩ ὁ χορός φησιν καὶ ⟨g: καν L κἂν v⟩ τῆς Ἠλέκτρας συνελθούσης αὐτοῖς, καὶ τὸ ἴδετε πρὸς ἀλλήλας φασὶν αἱ ἀπὸ ⟨Lg: del. L om. v⟩ τοῦ χοροῦ· ἤτοι ⟨Wolffius de schol. laur. p. 262: ἢ ὅτι Lgv⟩ ἔξω οὖσα ἡ Ἠλέκτρα λέγει πρὸς τὸν χορὸν τοὺς δύο στίχους, καὶ οὕτως εἰσέρχεται. καὶ ἔστι διάλειμμα ⟨βραχὺ add. g⟩, ὥστε ἐξελθοῦσαν αὐτὴν ἄρχεσθαι τοῦ 'ὦ φίλταται γυναῖκες' ⟨1397⟩. παρατήρει δὲ ὅτι ἐπὶ μὲν τῇ τοῦ ἀγγέλου παρουσίᾳ προοικονομεῖ ὁ ποιητὴς ἔξω διατρίβειν τὴν Κλυταιμνήστραν, δι' ἃς προείπομεν ⟨660⟩ αἰτίας· ἐνθάδε ⟨ἐνθά L⟩ δὲ τῶν λόγων γενομένων πρὸς τὴν Ἠλέκτραν ἐκ τοῦ Ὀρέστου, οὐδὲν λείπει εἰς τὸ ἀνελεῖν τὴν Κλυταιμνήστραν, ἅπερ ἐν τῷ ἐμφανεῖ ⟨Trendelenburgius gramm. iud. p. 89: ἐμφαίνειν Lgv⟩ ὁ ποιητὴς οὐκ εἰσήγαγεν. | ⟨ἀντὶ τοῦ προβιβάζει. add. E⟩ || 1385 τὸ δυσέριστον αἷμα φυσῶν: οἷον ὁ Ἄρης συναγελάζεται αὐτοῖς φυσῶν αἷμα καὶ φόνον. | δυσέριστον δὲ τὸ ⟨gv: τὸν L⟩ δι' ἔριν γινόμενον κακόν. || 1387 τὸ δὲ κακῶν ⟨Brunckius: κακὸν Lgv⟩ οὐχ ὡς κατηγοροῦσά φησιν, ἐναντίον γὰρ τῷ ἤθει τοῦ χοροῦ, ἀλλ' ὅτι τὰ τοιαῦτα ἔργα οὐχ ἡδέα τοῖς ἀνθρώποις.

ἄφυκτοι κύνες,
ὥστ' οὐ μακρὰν ἔτ' ἀμμενεῖ
τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον.
παράγεται γὰρ ἐνέρων (ἀντιστρ.)
δολιόπους ἀρωγὸς εἴσω στέγας,
ἀρχαιόπλουτα πατρὸς εἰς ἑδώλια,
† νεακόνητον αἷμα χειροῖν ἔχων·

1388 κῦνεσ e || 1389 ἀμμενεῖ Σ Wunderus: ἀμμένει Llpe ἐμμένει g || 1390 τοὐμὸν Ll¹pe Eustathius ad Hom. *E* 149 p. 533: τοῦμον l τοὐμῶν e²gς | αἰωρουμένων L corr. Ɫ || 1389 seq. τοὐμὸν φρενῶν δ' ὄνειρον αἰωρούμενον Οὐ μακρὰν ἔτ' ἀμμένει malit Nauckius || 1391 ἐννέρων e ἀνέρων g || 1392 σκολιόπους Wakefieldus silv. crit. IV p. 7 || 1393 ἀρχεόπλουτα e | εἰ L corr. Ɫ | ἑδώλια L: ἐδώλια l εδώλια g γρ. ἑδράσματα Ɫ ἐδράσματα pg² σἑδρασματα e (ε corr. e²) || 1394 νεοκόνητον lemma schol. ed. rom. νεοχμόκμητον vel νεαρόκμητον Meinekius ad. Oed. Col. p. 271 θεοκίνητον vel ἀκίνητον Schuppius ztschr. f. oest. gymn. 1863 p. 693 | ἧμα Heusingerus spec. obs. crit. fol. XIX ἆμα Wakefieldus silv. crit. I p. 28 αἶχμα Musgravius Nauckius (eurip. stud. I p. 90) ἄγμα Kolsterus philol. V p. 633 | νεακὲς αἱμάτωμα Hartungus νεακόνιτον ἅμμα Wolffius | χειροῖν L: χεροῖν Ɫlpeg | χέων Martinus progr. posn. 1858 p. 28 (ἄγων vindobonensis et teste Dindorfio g cum scholio χεροῖν ἄγων, ἤγουν διὰ χειρῶν ἄγων, cum nihil enotaverit Hinckius) | χερὶ νεακονῆ μάχαιραν φέρων Heimsoethius krit. stud. I p. 62 νεακόνητον, αἶ, μάχαιραν φέρων Nauckius νεακόνητον εὖ μάχαιραν στέγων Wecklinus art. p. 52

1388 ἄφυκτοι κύνες: ἤτοι εἰς τὸν Ὀρέστην ἀποτείνεται ἐν τῷ ἄφυκτοι κύνες, ἢ ἐπὶ τῶν Ἐρινύων· εἰσῆλθον εἰς τὸν οἶκον αἱ Ἐρινύες, ἃς οὐκ ἔστι φυγεῖν. | * Eustathius ad Hom. *I* 454 p. 763 λέγονται ... καὶ μετάδρομοι κακῶν ἔργων ... καὶ ἄφυκτοι δὲ κύνες διὰ τὸ οἷον ἰχνηλατεῖν, εἶτα καὶ δάκνειν τοὺς κακούργους. ad *I* 502 p. 768 ἰστέον δὲ καὶ ὅτι Ἐριννύες μὲν 'λωβητῆρες ὑστεροφθόροι' παρὰ Σοφοκλεῖ ⟨Ant. 1074⟩, αἱ δ' αὐταὶ καὶ μετάδρομοι κακῶν κύνες καθ' ὁμοίαν ἔννοιαν. * || 1389 ὥστ' οὐ μακρὰν ἔτ' ἀμμένει: οὐ περὶ τοῦ ὀνείρου τῆς Κλυταιμνήστρας φησί, τοῦτο γὰρ βίαιον, ἀλλὰ τοῦτό φησιν· ἃ κατ' ἐμαυτὴν ὠνειροπόλουν, οὐκ εἰς μακρὰν ἔσται μετέωρα, ἀλλ' εὐθέως τελεσθήσεται. || 1391 παράγεται γὰρ ἐνέρων δολιόπους: ἡ Ἐρινὺς ἀφόβως ⟨ἀψόφως Wakefieldus⟩ χωροῦσα, ἢ δαίμων τις ἁπλῶς βοηθὸς νεκρῶν. ἢ ἐπὶ τοῦ Ὀρέστου· παρέρχεται, φησίν, ἔσω στέγης ὁ Ὀρέστης. | ἐνέρων δὲ ἀρωγός, ἤτοι τοῦ Ἀγαμέμνονος ἢ τῶν χθονίων θεὸς ⟨Lv: om. g θεῶν ed. rom.⟩ βοηθός, ὅ ἐστιν ὑπηρέτης. || 1393 ⟨ἑδράσματα add. Suidas⟩ ἀρχαῖα οἰκήματα ⟨Suidas ἑδώλια⟩. || 1394 τὸ ξίφος τὸ ἠκονημένον εἰς αἷμα καὶ φόνον. | ⟨ἐκ τοῦ ποιουμένου τὸ ποιοῦν, ἤγουν ξίφος. v⟩ | * Hesychius et Suidas αἷμα, Bekkeri anecd. p. 356 Σοφοκλῆς δὲ ἐν Ἠλέκτρᾳ τὴν μάχαιραν αἷμά φησιν. etymol. magn. p. 35 αἷμα· ἡ ⟨Dindorfius: αἱμάτη codd.⟩ μάχαιρα παρὰ Σοφοκλεῖ. *

ὁ Μαίας δὲ παῖς
Ἑρμῆς σφ' ἄγει δόλον σκότῳ
κρύψας πρὸς αὐτὸ τέρμα κοὐκέτ' ἀμμένει.

ΗΛ. ὦ φίλταται γυναῖκες, ἄνδρες αὐτίκα
τελοῦσι τοὔργον· ἀλλὰ σῖγα πρόσμενε.
ΧΟ. πῶς δή; τί νῦν πράσσουσιν; ΗΛ. ἡ μὲν ἐς τάφον
λέβητα κοσμεῖ, τὼ δ' ἐφέστατον πέλας.
ΧΟ. σὺ δ' ἐκτὸς ἦξας πρὸς τί; ΗΛ. φρουρήσουσ' ὅπως
Αἴγισθος ἡμᾶς μὴ λάθῃ μολὼν ἔσω.
ΚΛ. αἰαῖ. ἰὼ στέγαι

1396 ἑρμῆσ Llpeg: ἐπί Neuius ὁμοῦ Kolsterus ἑξῆς Wolffius ἁρμοῖ Meinekius | σφ' ἄγει lg vindobonensis: ἐ*άγει L superscripto ut videtur εξ (quae praeterea adscripta sunt legi nequeunt) ἐπάγει L^2p vindobonensis a m. 2 in margine ἐπεισάγει e σφ' ἐπεξάγει omisso Ἑρμῆς Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 472 | δόλον L δόλιον g || 1397 περὶ ut videtur p corr. p^1 | τέρμ' οὐκέτ' ἂν μένῃ g || 1396 seq. κρύψας δόλον σκότῳ πρὸς αὐτὸ δή σφ' ἄγει Τέρμα, κοὐκέτ' ἀμμένει malit Nauckius || 1398—1441 vulgo aut in unam stropham (1398—1421) suamque antistrophen (1422—1441) dividuntur, aut duas strophas (1398—1406. 1407—1421 vel 1398—1403. 1404—1421) duae antistrophae (1422—1427^c. 1428—1441 vel 1422—1427. 1427^a—1441) excipiunt; Wolffius tres strophas (1398 seq. 1400—1403. 1407—1421) et tres antistrophas (1422 seq. 1424—1427. 1428—1441) praetereaque mesodum (1404—1406) statuit; post binos denique dialogi versus (1398. 99 et 1422. 23) duas strophas (1400—1403. 1404—1421) totidemque antistrophas discribit Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 474 || 1398 ἄνδρες (ὦ 'νδρες) Brunckius: ἄνδρες Llpeg || 1399 τελοῦσι L superscr. ἔσω E | τοὐργὸν lpeg | σίγα leg || 1400 πράσσουσι g | ἡ — τάφον separato versu L || 1401 τὼ δ' pg^1: τῶι δ' L τῴ δ' l τώ δ' e τῶ δ' g | ἕστατον l ἐφέστατον in margine l^1 || 1402 ἤϊξασ L ἤϊξας l ἦξασ g | φρουρ. ὅπως separato versu L | φρουρήσασ' l || 1403 ἡμᾶς superscr. ienensis, add. Reiskius: om. Llpeg ἥμας Hermannus αὐτὸς Triclinius οὗτος Lentingius ad Eur. Med. p. 205 || 1404 αἰαῖ Hermannus: αἶ αἶ L αἲ αἲ αἲ αἲ lpe αἶ αἶ αἶ αἶ g del. Dindorfius

1395 ὁ Μαίας δὲ παῖς: ὁ ⟨ὁ Μαίας σ' v⟩ Ἑρμῆς αὐτὸν ἄγει πρὸς αὐτὸ τὸ τέρμα, κατακρύψας ⟨ed. rom.: κατακρύψαι Lgv⟩ σκότῳ τὸν ὑπ' αὐτοῦ γιγνόμενον δόλον. | Ἑρμῆς. || 1398 ἐξερχομένη ταῦτά φησιν. || 1400 εἰς τὸ περίδειπνον, τὸ ⟨ed. rom.: τῷ L⟩ ἐπὶ τῷ Ὀρέστῃ δοκοῦντι ἀπολωλέναι. | ⟨τάφος λέγεται ὁ δεῖπνος ὁ ἐπὶ νεκρῷ διὰ παρηγορίας γινόμενος. v⟩ || 1402 ἐν τούτοις δῆλον, ὅτι εἰσῆλθεν ἐν τοῖς ἔμπροσθεν Ἠλέκτρα. || 1404 αἶ αἴ, ἰὼ στέγαι: ἔθος ἔχουσι τὰ γεγονότα ἔνδον ἀπαγγέλλειν τοῖς ἔξω οἱ ἄγγελοι, νῦν δὲ διὰ τὸ μὴ διατρίβειν ἐν τῷ δράματι ⟨Lv: δώματι g⟩ οὐκ ἐποίησεν· τούτῳ ⟨Trendelenburgius gramm. iud. p. 46: τοῦτο Lgv⟩ γὰρ προκείμενον τὸ κατὰ τὴν Ἠλέκτραν ἐστὶ πάθος. νῦν τοίνυν βοώσης

φίλων ἔρημοι, τῶν δ' ἀπολλύντων πλέαι.
ΗΛ. βοᾷ τις ἔνδον. οὐκ ἀκούετ', ὦ φίλαι;
ΧΟ. ἤκουσ' ἀνήκουστα δύστανος, ὥστε φρῖξαι.
ΚΛ. οἴμοι τάλαιν'. Αἴγισθε, ποῦ ποτ' ὢν κυρεῖς;
ΗΛ. ἰδοὺ μάλ' αὖ θροεῖ τις. ΚΛ. ὦ τέκνον, τέκνον,
οἴκτειρε τὴν τεκοῦσαν. ΗΛ. ἀλλ' οὐκ ἐκ σέθεν
ᾠκτείρεθ' οὗτος οὐδ' ὁ γεννήσας πατήρ.
ΧΟ. ὦ πόλις, ὦ γενεὰ τάλαινα, νῦν σε
μοῖρα καθαμερία φθίνει φθίνει.
ΚΛ. ὤμοι πέπληγμαι. ΗΛ. παῖσον, εἰ σθένεις, διπλῆν.

1405 φίλ** l ων superscr. l[1] | πλε^αι p πλέᾳ Elmsleius ad Eur. Med. 259 || 1406 τίσ lg || 1407 ἀνήκοστα L corr. E || 1408 σταυοσ — φρίξαι separato versu L | φρίξαι Llpeg || 1409 ποῦ leg: ποῖ L πο p ῦ minio superscr. p[2]. ποῖ μένων Wecklinus art. p. 6 || 1410—1412 ab ὦ et ἀλλ' et οὐθ' novos versus incipit L || 1410 chori notam praefixam habet g | τίσ lg | τέκνον, τέκνον vindobonensis Triclinius: τέκνον ὦ τέκνον Llpeg vindobonensis a m. 2 || 1412 οὐδ' vindobonensis Dindorfius: οὔθ' Llpeg || 1413 ὦ δόμος, ὦ Arnoldus soph. rett. p. 58 ὦ πόνοι, ὦ Wecklinus art. p. 45 ὦ Πέλοπος Gomperzius | σου Wolffius (σοι Hermannus) || 1414 ***ρ* p μοῖρα p[1] | καθαμερία e Triclinius: καθημερία Llpg | φθίνει φθίνει Lle[1] (in litura) g: φθίνει pς Heimsoethius krit. stud. I p. 239 φθίνει σε vindobonensis (alterum φθίνει add. m. 2) φθίνειν φθίνειν Hermannus φθίσει φθίσει Nauckius φθάνει φθάνει Bergkius σφαλεῖ σφαλεῖ (vel μοῖρα κατ' ἦμαρ ἰὼ φθίνειν φθίνειν) FGSchmidtius anal. soph. p. 32 φθίνειν Hartungus φθίνειν ἔχει Dindorfius φθίνειν ἄγει Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 17 || 1415—1419 a παῖσον et εἰ et γᾶς novos versus incipit L || 1415 Crameri anecd. oxon. I p. 268 καὶ τὸ παθητικὸν λέλημμαι. Σοφοκλῆς 'οἴμοι λέλημμαι'. (Arist. Plut. 934 οἴμοι περιείλημμαι μόνος.) | ὤιμοι l | πλῆξον Meinekius ad Oed. Col. p. 272 | εἰ σθένει p minio correctum εἰ θέλεις vel potius εἴ σφε δεῖ FGSchmidtius p. 34 εἰ στένει Wecklinus art. p. 54. παῖ' ὅσον vel παῖσον ἢ σθένεις Kvíčala ztschr. f. oest. gymn. 1871 p. 118 | διπλῆν Lpe: διπλὴν Lg διπλήν l

ἐν τῇ ἀναιρέσει τῆς Κλυταιμνήστρας ἀκούει ὁ θεατής, καὶ ἐνεργέστερον ⟨Lv: ἐναργέστερον g⟩ τὸ πρᾶγμα γίνεται ἢ δι' ἀγγέλου σημαινόμενον. καὶ τὸ μὲν φορτικὸν τῆς ὄψεως ἄπεστι ⟨Neuius: ἀπέστη Lgv⟩, τὸ δὲ ἐναργὲς οὐδὲν ἧσσον καὶ διὰ τῆς βοῆς ⟨L: ἀκοῆς g δι' αὐτὸν v⟩ ἐπραγματεύσατο. || 1405 ὁ λόγος ἀποτείνεται πρὸς Αἴγισθον. || 1406 βοᾷ τις ἔνδον: ⟨immo 1407⟩ οἰκεῖον τὸ διανόημα γυναικῶν. τὸ δὲ ἀνήκουστα οὐχ ὡς καταγινώσκουσαι ⟨L: γινώσκουσα g καταγινώσκουσα v⟩ τοῦ Ὀρέστου φασὶν ⟨L: φησὶν gv⟩ ἀλλὰ πᾶν τὸ πρᾶγμα ἐκτρεπόμεναι. || 1413 ὦ πόλις, ὦ γενεά: ὦ γενεὰ τοῦ οἴκου τούτου, κατὰ ταύτην σε τὴν ἡμέραν ἡ Μοῖρα εἰς φθορὰν καὶ ἐλάττωσιν τοῦ γένους ἄγει.

ΚΛ. ὤμοι μάλ' αὖθις. *ΗΛ.* εἰ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ.
ΧΟ. τελοῦσ' ἀραί· ζῶσιν οἱ γᾶς ὑπαὶ κείμενοι.
παλίρρυτον γὰρ αἷμ' ὑπεξαιροῦσι τῶν
κτανόντων οἱ πάλαι θανόντες.

[ΗΛ.] καὶ μὴν πάρεισιν οἵδε· φοινία δὲ χεὶρ
στάξει θυηλῆς Ἄρεος, οὐδ' ἔχω ψέγειν.
ΗΛ. Ὀρέστα, πῶς κυρεῖ ⏑; *ΟΡ.* τἀν δόμοισι μὲν
καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισεν.
ΗΛ. τέθνηκεν ἡ τάλαινα; *ΟΡ.* μηκέτ' ἐκφοβοῦ
μητρῷον ὥς σε λῆμ' ἀτιμάσει ποτέ.
— ⏑́ ⏑ ⏑́ ⏑ —

1416 schol. Arist. Plut. 935 *οἴμοι μάλ' αὖθις·* τὸ ἡμιστίχιον ἐξ Ἠλέκτρας Σοφοκλέους, ⟨RV⟩ τὸ 'οἴμοι μάλ' αὖθις', ὅτε τὴν Κλυταιμνήστραν οἱ περὶ Ὀρέστην φονεύουσιν ⟨V⟩. (Aesch. Ag. 1345.) | post hoc hemistichium l in margine inferiore repetit *ὦ πόλισ ὦ γενεὰ*, del. l[1]; in proxima scheda primi quattuor versus (= 1414—1416 *αὖθισ*), qui bis scripti erant, erasi sunt || 1417 *δ' ὁμοῦ* g*ϛ* *γ' ὁμοῦ* Hermannus *θαμά* Heimsoethius krit. stud. I p. 171 || 1418 *τελοῦσ'* Triclinius: *τελοῦσιν* Llpg *τελῶσιν* e | *ἀραίας* p || 1419 *ὑπαὶ κείμενοι* Brunckius: *ὑποκείμενοι* Llpeg || 1420 *παλίρρυτον* Bothius: *πολλύρυτον* Ll *πολύρρυτον* peg | *αἷμα* g | *ἐξαιροῦσι* l *ὑπὲξ αἱροῦσι* Bergkius || 1421 *κτανόντων* priori versui tribuit IHHSchmidtius ant. compositionsl. p. XLIII || 1422. 1423 *ΗΛ.* Llpeg, del. Hermannus *ΟΡ.* Wilmsius progr. burgsteinfurt. 1858 p. 22 | *πάρεισι* e, corr. e[2] | *οἶδε* L corr. Ŀ *οἱδε* l | *φοινία* Lle[2]g: *φονία* l[1]pe || 1423 *θ*ηλῆσ* L corr. Ŀ *θηλῆσ* g *θυηλαῖς* Bergkius | *ἄρεωσ* g | *θυηλῆς· ἆρα δέον ἔχω* Kolsterus philol. V p. 635 | *ψέγειν* Erfurdtius: *λέγειν* Llpeg *στέγειν* Reisigius coniect. p. 15 *βλέπειν* Arndtius progr. neobrandenb. 1844 p. 6 *τί φῶ* Erfurdtius Bergkius. *εὖ δ' ἔχω λέγειν* Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 473 || 1424 *ΗΛ.* om. Llpeg, choro hemistichium dat Erfurdtius | *κυρεῖ* Llpe[1]g *κυρ** e *ρεῖ* e[1] *κυρεῖς* e[2] *κυρεῖς γε* e[3] *κυρεῖ γε* Triclinius *κυρεῖτε* Reisigius coniect. p. 238 Elmsleius *κυρεῖ δέ* vel *κυροῦντα* Erfurdtius *κυρεῖ τί* Schneiderus *ἔκυρε* Neuius. *κυρεῖ; Τά γ' ἐν* Brunckius *κυρεῖ τάδ'; Ἐν* Kolsterus philol. V p. 636 *κυρεῖ; λέγ'. Ἐν* Wecklinus art. p. 33 | *ΟΡ. — μὲν* separato versu L | *δόμοισ* l || 1425 *ἐθέσπισε* pe || 1426 totum versum Oresti continuant Llpeg | *μὴκέτ'* Ll | *ὡσ σε* l | *ὥσ λῆμμ' ἀτιμάσῃ* g || post 1427 tres versus excidisse monuit Erfurdtius, quorum duo priores Electrae tertium Oresti Hermannus, illos Oresti tertium Electrae tribuit Nauckius

1418 ⟨*τελοῦσι, καὶ* ⟨*οἷον?*⟩ *τελοῦνται, αἱ ἀραί, ζῶσιν οἱ ὑποκείμενοι, ἤγουν οἱ ὑποκάτω τῆς γῆς κείμενοι. ἢ τελοῦσι τὰς ἀρὰς ἐν τοῖς ζῶσιν.* v⟩ | *ἀντὶ τοῦ ἐπεξέρχονται* ⟨*ὑπερέρχονται* g⟩ *αὐτούς* ⟨ed. rom.: *ἑαυτούς* Lg. | *ἑαυτάς* Wolffius ztschr. f. d. alt.-wiss. 1855 p. 67 hoc vocabulum ad *τελοῦσιν* referens⟩. || 1420 ⟨*καὶ* add. g coniuncta utraque glossa⟩ *ἐκχέουσι τὸ αἷμα τῶν φονευσάντων οἱ φονευθέντες* ⟨Lv: *οἱ πάλαι θανόντες* g⟩. || 1425 *Ἀπόλλων εἰ καλῶς ἐθέσπισεν*: *οἷον οὐκ ἀπ' ἐμαυτοῦ ἐπιβαλλόμενος ἔπραξα, ἀλλὰ πειθόμενος* ⟨*τῷ* add. g⟩ *θεῷ.*

⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –.
⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –.
ΧΟ. παύσασθε. λεύσσω γὰρ Αἴγισθον ἐκ προδήλου.
ΟΡ. ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏑ –.
ΗΛ. ὦ παῖδες, οὐκ ἄψορρον; ΟΡ. εἰσορᾶτε ποῦ
τὸν ἄνδρ' ἐφ' ἡμῖν; † ΗΛ. οὗτος ἐκ προαστίου
χωρεῖ γεγηθὼς ⊥ ⏑ – ⏑ ⊥ ⏑ –.
ΧΟ. βᾶτε κατ' ἀντιθύρων ὅσον τάχιστα,
νῦν, τὰ πρὶν εὖ θέμενοι, τάδ' † ὡς πάλιν.
ΟΡ. θάρσει· τελοῦμεν. ΗΛ. ᾗ νοεῖς ἔπειγέ νυν.
ΟΡ. καὶ δὴ βέβηκα. ΗΛ. τἀνθάδ' ἂν μέλοιτ' ἐμοί.
ΧΟ. δι' ὠτὸς ἂν παῦρά γ' ὡς ἠπίως ἐννέπειν

1428 *παύσασθ** e, corr. e² | *λεύσω* L (corr. L' et L²) g || 1429 *αἴγισθον ἐκ προδήλου* separato versu L || post 1429 trimetrum excidisse vidit Seidlerus (*ἀλλ' ἐξίκοιτό γ', ὡς παρεσκευάσμεθα* Hermannus) || 1430 *ἄψορροι* g | *ΟΡ.* om. pe add. e² | *εἰσορᾶτε ποῦ* g vindobonensis Hermannus (qui malit *εἰσορᾷς δὲ ποῦ*): *εἰσορᾶτέ που* Llpe || 1431 *ΗΛ.* om. p (⁖ minio add.) e (add. e²), post *ἄνδρ'* transponit Hermannus, idem olim post *οὗτος* | *τὸν ἄνδρ' ἐφ' ἡμῖν τοῦτον; Ἐκ* Nauckius. *τοῦτον τὸν ἄνδρ' ἐφ' ἡμῖν; Ἀλλ', ἀδελφέ, σοι Χωρεῖ γεγηθὼς ἐκ προαστείων ὅδε* Kolsterus philol. V p. 638 *τὸν ἄνδρ' ἰόντ' ἐφ' ἡμῖν; Ἐκ — γεγηθὼς οὗτος* Martinus *τὸν — ἡμῖν βάντα; Καὶ μόνος μάτην Χωρεῖ γεγηθὼς οὗτος ἐκ προαστίου* Wolffius, in transponendis voc. *οὗτος ἐκ πρ.* palatinum secutus | *προαστίου* Lp¹: *προαστείου* lpeg. Suidas *προάστειον· ὁ δὲ Σοφοκλῆς προάστιον διὰ τοῦ ι 'τὸν — προαστίου'.* || 1432 lacunam indicavit Brunckius (*κάρτα σὺν σπουδῇ ποδός* Hermannus *κοὐκ ἔχων δορυσσόους* Ahrensius progr. coburg. 1859 p. 16 *μηδὲν ὑπονοῶν κακόν* Meinekius ad Oed. Col. p. 273) || 1433 *βάτε* p | *βᾶτε κατ'* e. *ε κατ'* in litura | *κᾶτ'* l | *κατάντι θυρῶν* g | *ὅσσον* p || 1434 *τάδ' ὦσ πάλιν* g *τάδ' ὡς τὰ πρίν* Musgravius *τάδ' αὖ πάλιν* Dindorfius *τάδ' εὖ πάλιν* Gleditschius progr. gymn. Wilh. berol. 1867 p. 17 *πάλιν* Hartungus *τάδ' αὖ* Heimsoethius krit. stud. I p. 239 | post *πάλιν* interrumpi sermonem statuit Triclinius || 1435 *ΟΡ.* Lleg: *ΧΟ.* p | *ΗΛ. ᾗ νοεῖς* Erfurdtius: *ἧι νοεῖσ. ΗΛ.* Llpeg || 1436 *ΗΛ. ἔπειγε — βέβηκα* separato versu L, paullo maiore interstitio post *νῦν* relicto | *ἔπειγέ νυν* Brunckius: *ἔπειγε νῦν* Llpeg || 1437 *τἀνθένδε μέλοιτέ μοι* g *τἀνθάνδε μέλοιτ' ἐμοί* g¹ || 1438 *ΧΟ.* om. Llg vindobonensis (*Ὀρέστ* add. m. 2) || 1439 *ηπιωσ ἐννέπειν* (.ον.) separato versu L | *'ἤπιωσ* l *ἠπίως* g *γρ. νηπίωι* in margine L *γρ. νηπιω* in scholio L *γρ. νηπίως* vindobonensis *ἤπιον* Triclinius *νήπιος* olim Meinekius beitr. z. Antig. p. 40, retractavit idem ad Oed. Col. p. 273 *ἠπίῳ* Kvíčala sitzungsber. d. Wiener akad. XLV p. 476

1428 *οἷον ὑποστρέψαντα· μετεκέκλητο γὰρ ἂν ἴσως ὑπὸ Κλυταιμνήστρας.* || 1434 *νῦν τὰ πρὶν εὖ θέμενοι: τὰ μὲν πρὶν εὖ θέμενοι, τὰ κατὰ τὴν Κλυταιμνήστραν, ὡς καὶ ὕστερον* ⟨g: *ὑμέτερον* L *ἡμέτερον* v *ὑμῖν* Neuius⟩ *εὖ εἴη τὰ κατὰ Αἴγισθον.* || 1438 *δι' ὠτὸς*

πρὸς ἄνδρα τόνδε συμφέροι, λαθραῖον ὡς
ὀρούσῃ πρὸς δίκας ἀγῶνα.

ΑΙΓΙΣΘΟΣ

τίς οἶδεν ὑμῶν, ποῦ ποθ' οἱ Φωκῆς ξένοι,
οὕς φασ' Ὀρέστην ἡμὶν ἀγγεῖλαι βίον
λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις;
σέ τοι, σὲ κρίνω, ναὶ σέ, τὴν ἐν τῷ πάρος
χρόνῳ θρασεῖαν· ὡς μάλιστά σοι μέλειν
οἶμαι, μάλιστα δ' ἂν κατειδυῖαν φράσαι.

ΗΛ. ἔξοιδα, πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν
ἔξωθεν εἴην τῶν ἐμῶν γε φιλτάτων.

ΑΙ. ποῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκέ με.

1440 συμφέρει g | λαθραῖο** L corr. E || 1441 ὀρούσῃ priori versui add. IHHSchmidtius | ὀρούσηι** L || 1442 πόθ' g | φωκῆσ Ep: φωκεῖσ leg || 1443 οὖσ p minio corr. οἵ g | φ*σ' p corr. p[1] | ἡμὶν pe: ἧμιν L ἡμῖν le[2]g | ἀγγεῖλαι νεκρόν; deleto v. 1444 ThSchaeferus de Horatii c. III, 27 p. 62 || 1445 ναὶ Reiskius: καὶ Llpe[2] (in lit.) g || 1446 μέλλειν e || 1447 μάλιστ' ἂν g | κατ' εἰδυῖαν e κατειδυῖα g corr. g[2] || 1448 ἔξ**δα p corr. p[1] | συμφορὰσ l || 1449 γε φιλτάτων e[2]: ησ ησ τε φιλτάτων L (utrumque ησ E, mutatum in τῆσ et τησ a E[2]) τε* φιλτάτων l τε φιλτάτων p **φιλτάτ** e φιλτάτων (omisso τε) vindobonensis τῶν φιλτάτων ς τῆς φιλτάτων Lentingius ad Eur. Med. 16 Wolffius. τῆς ἐμῶν τῶν φιλτάτων Hartungus τῶν ἔμοιγε φιλτάτων Nauckius || 1450 ἆρ' εἰσὶν Nauckius | μοι e, corr. e[1] | γράφε[τ] μήνυέ μοι E

ἂν παῦρά γε: μὴ ἀνατεταμένως φθέγγεσθαι, ἀλλ' ἐλαφρῶς· ἐν τῷ λαλεῖν δεῖ μηδὲ ⟨διαμαίνειν (i. διαμένειν) add. v⟩ μηκύνειν τὸν λόγον. ⟨αὐτῷ λαβεῖν· δεῖ δὲ κινεῖν τὸν λόγον g. ἐν τῷ λαλεῖν δεῖ μήτι μηκύνειν λόγον Wolffius de schol. laur. p. 24 trimetrum alicuius poetae putans. ἁπλῶς λέγειν δεῖ μηδὲ μηκύνειν λόγον Heimsoethius ind. schol. bonn. 1867 p. XIII⟩ | ὡς ἠπίως ἐννέπειν: γρ. νηπίῳ ⟨L: γρ. νηπίως v⟩. ὡς ἂν μικρῶν παίδων ῥήματα, οὕτως αὐτῷ ἀφελῶς ⟨Lv: ἀνωφελῶς g⟩ διαλέγεσθαι δεῖ, μὴ ἀνακαλύπτυντας ⟨ed. rom.: ἀνακαλύπτοντες Lv ἀνακαλύπτοντος g⟩ εὐθέως τὸ γεγονὸς κατὰ τὸν οἶκον. || 1440 πρὸς ἄνδρα τόνδε συμφέροι: καθ' ὑπέρβατον· συμφέροι ἂν πρὸς τοῦτον τὸν ἄνδρα ὀλίγα δι' ὠτὸς αὐτοῦ ἐννέπειν, ὡς ἂν ἀνοήτῳ διαλεγόμενον· λείπει δὲ καὶ τῷ λόγῳ 'διαλεγόμενον', τῷ νηπίῳ. ἢ πρὸς αἰτιατικὴν μετακτέον· πρὸς τὸν ἄνδρα συμφέρει ⟨v: συμφέροι L συμφέρον g⟩ τοῦτον ὡς πρὸς νήπιον ἐννέπειν ὀλίγα διὰ τοῦ ὠτός, ὅπως ἂν ἀπατηθεὶς ἐμπέσῃ ⟨gv: ἐμπέσοι L⟩ εἰς τὸν ἀγῶνα τῆς δίκης τὸν λάθρᾳ κατ' αὐτοῦ γινόμενον.

ΗΛ. ἔνδον· φίλης γὰρ προξένου κατήνυσαν.
ΑΙ. ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
ΗΛ. οὔκ, ἀλλὰ κἀπέδειξαν, οὐ λόγῳ μόνον.
ΑΙ. πάρεστ' ἄρ' ἡμῖν ὥστε κἀμφανῆ μαθεῖν;
ΗΛ. πάρεστι δῆτα καὶ μάλ' ἄζηλος θέα.
ΑΙ. ἦ πολλὰ χαίρειν μ' εἶπας οὐκ εἰωθότως.
ΗΛ. χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνει τάδε.
ΑΙ. σιγᾶν ἄνωγα κἀναδεικνύναι † πύλας
πᾶσιν Μυκηναίοισιν Ἀργείοις θ' ὁρᾶν,
ὡς εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
ἐξῄρετ' ἀνδρὸς τοῦδε, νῦν ὁρῶν νεκρὸν
στόμια δέχηται τἀμὰ μηδὲ πρὸς βίαν
ἐμοῦ κολαστοῦ προστυχὼν φύσῃ φρένας.
ΗΛ. καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ· τῷ γὰρ χρόνῳ
νοῦν ἔσχον, ὥστε συμφέρειν τοῖς κρείσσοσιν.
ΑΙ. ὦ Ζεῦ, δέδορκα φάσμ' ἄνευ φθόνου μὲν οὐ

1451 φίλης ἐς Hartungus | πρὸς ξένου Wunderus | καθήνυσαν Monkius Dobraeus ad Arist. Plut. 607 ⟨Phrynichus Bekkeri anecd. p. 14 ἀνύειν· δασύνουσιν οἱ Ἀττικοί. καὶ δῆλον ἐκ τῆς συναλοιφῆς· καθήνυσαν γάρ.⟩ || 1453 ὀύκ' L ὀυκ' Ε οὔκ' l ουκ g | μόνῳ lg || 1454 ἆρ Lle ἄρ' pg | κἂν φανῇ superscr. εμ l | μαθεὶν; Wunderus: μαθεὶν. vulgo μ' ἀθρεῖν Kayserus n. jahrb. f. philol. LXIX p. 509 || 1456—1465 del. Schoellius | μ' om. pe | ειωθότοσ p corr. p² || 1457 τυγχάνοι L || 1458 οἴγειν ἄνωγα vel λέγω σ' ἀνοίγειν Wecklinus art. p. 93 | κἀναδεικνῦναι lg καὶ διοιγνύναι Froehlichius (philol. XX p. 174) κἀμπεταννύναι Hartungus κἀναπιτνάναι Herwerdenus ad Oed. reg. p. 200 | πύλαις monacensis Doederlinus spec. ed. Soph. p. 52 Dobraeus adv. II p. 51 πέλας Reiskius Erfurdtius Bergkius πύραν vel τύχας Purgoldus δέμας Froehlichius τύκας Schwerdtius ad Aesch. suppl. p. 61 κύτος vel σποδόν Herwerdenus || 1459 del. Herwerdenus | πᾶσι eg || 1460 αὐτὸν p ἀστῶν Benedictus Herwerdenus | ἐλπίσι eg | μάτην g γρ. πάρος in marg. g² || 1461 ἐξείρετ' l corr. l¹ ἐξῄρατ' vindobonensis || 1462 δέχῃ l δέχεται g corr. g¹ | μηδὲ Llg || 1463 φύσει vulgo || 1464 δὴ om. g add. g³ | τάμ' e, corr. e¹ || 1465 ὥστε om. Thomas Mag. p. 341 R. | κρείσσοσιν Ll: κρείττοσιν pg κρείτοσιν e || 1466 φόνου L corr. Ε *θόνου e, corr. e² θεοῦ Gomperzius | οὐ eraso ˜ p εὖ Tyrwhittus apud Musgravium exerc. p. 145. ad Eur. Rhes. 456

1451 ἐπισαρκάζουσα τάδε φησίν. || 1458 κελεύει ὁ Αἴγισθος ἐμφανῶς δείκνυσθαι τὸ σῶμα τοῦ Ὀρέστου· οἱ δὲ ἐπιδεικνύουσι τὸ τῆς Κλυταιμνήστρας. || 1462 ἐὰν μὴ ⟨δέχηται μηδὲ add. g⟩ πείθηται, πρὸς βίαν κολάσεως τυχὼν ⟨παρ' ἐμοῦ add. g⟩, τότε φύσει φρένας καὶ εἴσεται ὅτι ἄμεινον ἦν πείθεσθαι τῷ κρατοῦντι. | ⟨τὰ χαλινά, τουτέστι τὴν ἐμὴν ἐξουσίαν. add. g⟩ || 1466 οἷον ἐφθονήθη καὶ ἔπεσεν ὁ Ὀρέστης. εἰ δὲ μέμψις τις ἔπεστιν, οὐ λέγω. | εἰ δὲ

πεπτωκός. εἰ δ' ἔπεστι νέμεσις, οὐ λέγω.
χαλᾶτε πᾶν κάλυμμ' ἀπ' ὀφθαλμῶν, ὅπως
τὸ συγγενές τοι κἀπ' ἐμοῦ θρήνων τύχῃ.
ΟΡ. αὐτὸς σὺ βάσταζ'. οὐκ ἐμὸν τόδ' ἀλλὰ σόν,
τὸ ταῦθ' ὁρᾶν τε καὶ προσηγορεῖν φίλως.
ΑΙ. ἀλλ' εὖ παραινεῖς κἀπιπείσομαι· σὺ δέ,
εἴ που κατ' οἶκόν μοι Κλυταιμνήστρα, κάλει.
ΟΡ. αὕτη πέλας σοῦ· μηκέτ' ἄλλοσε σκόπει.
ΑΙ. οἴμοι, τί λεύσσω; ΟΡ. τίνα φοβῇ; τίν' ἀγνοεῖς;
ΑΙ. τίνων ποτ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις
πέπτωχ' ὁ τλήμων; ΟΡ. οὐ γὰρ αἰσθάνῃ πάλαι
ζῶντας θανοῦσιν οὕνεκ' ἀνταυδᾷς ἴσα;
ΑΙ. οἴμοι, ξυνῆκα τοὔπος. οὐ γὰρ ἔσθ' ὅπως
ὅδ' οὐκ Ὀρέστης ἔσθ' ὁ προσφωνῶν ἐμέ.
ΟΡ. καὶ μάντις ὢν ἄριστος ἐσφάλλου πάλαι;
ΑΙ. ὄλωλα δὴ δείλαιος. ἀλλά μοι πάρες
κἂν σμικρὸν εἰπεῖν. ΗΛ. μὴ πέρα λέγειν ἔα
πρὸς θεῶν, ἀδελφέ, μηδὲ μηκύνειν λόγους.

1467 πεφηνός Nauckius (mél. gréco-rom. III p. 37) | εἰ δὲ ἔστι L corr. L (ν post ι eraso) εἰ δ' ἔπεστι e (εἰ δ' et πε e² in lit.) εἰ δ' ἔστιν g εἰ δέ τις ἐστὶ vindobonensis (γρ. εἰ δ' ἔπεστι m. 2) εἰ δέ που 'στιν Schneidewinus || 1468 χαλᾶτε p χάλα τὸ Wecklinus art. p. 22 | κά*λυμμ' p || 1469 τοι ς: τε Llp¹eg *ε p γε Triclinius | καὶ ἀπ' l | τύχοι g || 1470 τό* e τόδ' e² || 1471 φίλωσ (L)le¹g¹: φίλο*σ L vindobonensis φίλοσ peg φίλους Erfurdtius || 1473 μοι om. g ἡ e² in litura || 1474 ΟΡ. om. g | σου lg || 1475 λεύσω eg | τίνα — 1477 τλήμων del. Schoellius | φοβεῖ vulgo || 1476 τινών e | πότ' lg || 1477 πέπτοχ' e, corr. e² | αἰσθάνει vulgo || 1478 ζῶντας Tyrwhittus: ζῶν τοῖσ Llpeg vindobonensis (superscr. γρ. ζῶν τοῖς ἤγουν ζῶσι) | οὔνεκαταῦδᾶσ ἶσα g || 1479 ξυνοῖκα g | τοὖποσ lpe τοὔποσ. ἄρ' (corr. ex ἆρ')g || 1481 ὡς μάντις Tzetzes epist. p. 19 Pr. | *ν p corr. p¹ | ἐσφάλλου Lp: ἐσφάλου Lleg | πάλαι; Hermannus: πάλαι. vulgo || 1483 κἂν σμικρὸν pe: κἀν (κἂν L) ἐπι μικρὸν L κανσμικρὸν superscr. L κἂν ἐπὶ μικρὸν lg χἂν σμικρὸν Wecklinus art. p. 8

μεμφόμεθα τοῖς περὶ αὐτῷ συμβᾶσιν, οὐ λέγω. | ⟨ὁμολογεῖ ὅτι ἐφθόνει τὸν Ὀρέστην, ἢ ὅτι ἐφθόνει αὐτὸν ὁ Ὀρέστης. add. h⟩ || 1474 ⟨δεῖ νοεῖν ὅτι κεκαλυμμένον εἶχον τὸ σῶμα τῆς Κλυταιμνήστρας καὶ σὺν τῷ λόγῳ ἄραντες τὸ κάλυμμα ὑπέδειξαν Αἰγίσθῳ. add. g⟩ || 1476 ⟨ἄρκυες ⟨ἄρκυς g⟩ λέγονται τὰ δίκτυα ἐν οἷς ἔλαφοι καὶ ἄλλα ζῷα ζωγροῦνται. add. g⟩ || 1478 τῷ Ὀρέστῃ. || 1483 περισσὴ γὰρ καὶ ἀπίθανος διατριβὴ πρὸς τῷ τέλει ἐκτείνειν λόγους.

[τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένων
θνήσκειν ὁ μέλλων τοῦ χρόνου κέρδος φέροι;]
ἀλλ' ὡς τάχιστα κτεῖνε καὶ κτανὼν πρόθες
ταφεῦσιν ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν,
ἄποπτον ἡμῶν. ὡς ἐμοὶ τόδ' ἂν κακῶν
μόνον γένοιτο τῶν πάλαι λυτήριον.
ΟΡ. χωροῖς ἂν εἴσω σὺν τάχει· λόγων γὰρ οὐ
νῦν ἐστιν ἀγών, ἀλλὰ σῆς ψυχῆς πέρι.
ΑΙ. τί δ' ἐς δόμους ἄγεις με; πῶς, τόδ' εἰ καλὸν
τοὔργον, σκότου δεῖ, κοὐ πρόχειρος εἶ κτανεῖν;
ΟΡ. μὴ τάσσε· χώρει δ' ἔνθαπερ κατέκτανες
πατέρα τὸν ἀμόν, ὡς ἂν ἐν ταὐτῷ θάνῃς.
ΑΙ. ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν
τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά;
ΟΡ. τὰ γοῦν σ'· ἐγώ σοι μάντις εἰμὶ τῶνδ' ἄκρος.
ΑΙ. ἀλλ' οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας.
ΟΡ. πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.
ἀλλ' ἕρφ'. ΑΙ. ὑφηγοῦ. ΟΡ. σοὶ βαδιστέον πάρος.

1485. 1486 om. Ll add. in margine L^s(partim in litura scholii)l^1, del. Dindorfius | *τί* L^spe: *τίς* lg | *πρὸ τῶν* Hamacherus | *μεμιγμένων* L^spe: *μεμιγμένον* L^sle^2g | *λαλῶν — μεμιγμένον* Hartungus *θροῶν — μεμιγμένον* Ahrensius progr. coburg. 1859 p. 14 || 1486 *θνήσκειν* Llpeg | *φέροι* L^spe: *φέρει* L^slg || 1487 *πρόσθεσ* L(eraso priore σ)leg || 1488 *ὦ* L corr. L^s || 1490 *γένοιτο* om. L add. L^s || 1492 *ἐστὶν* lg | *ἀγών* (*ὠ'γὼν*) Brunckius: *ἀγών* Llpeg *ἀγὼν ἔτ'* Erfurdtius || 1494 *τοὔργον* Llpe(eraso ˜)g | *κ'οὐ* L *κοὐ* l || 1495 *δ'* om. g | *ἔνθάπερ* L *ἐνθάδεπερ* l || 1496 *ἀμόν* $L^s$$p^1$e: *ἁμον* L *ἀμὸν* lp *ἐμὸν* l^1 *τἀμὸν* g | *ἂν* palatinus vindobonensis m. 2 ς: om. Llpeg ** vindobonensis *νὺν* vel *σφὶν* Hermannus | *ἐνταυ*τῶι* L *ἀνταὐτῷ* l *ἐν ταυτῶ* p *ἐν ταὐτῶ* eg *ἐνταυθοῖ* vindobonensis (*γρ. ἐν ταυτῷ* m. 2) || 1497 *πάσ'* p || 1498. 1499 L^s (non L^s) in litura duorum versuum, quos huc non pertinere statim perspexit (*ορ*^{ε} et in extremis versibus *κά* et *οσ* litterae extra lituram scriptae non sunt prioris scripturae reliquiae) | ante 1498 personae nota erasa L || 1499—1507 del. Schoellius | *τὰ γοῦν σ'* L^spe: *τὰ γ' οὖν* ** L *τὰ γ' οὖν σά* l *τὰ γοῦν σά γὰρ* g *σὰ γοῦν* Meinekius n. jahrb. f. phil. LXXXVII p. 385 | *σοι* om. e | *μαντίσ εἰμι* l || 1500 *πατρῷαν* lg || 1502 *ὀρ*^{ει} iterum praescr. g | *ἕρφ'* L^spe: *ἕρπε* Llg

1488 ⟨*ἀντὶ τοῦ αὐτὸν ἀνελὼν* add. g⟩ *οἰωνοῖς καὶ κυσὶ πρόθες αὐτόν* ⟨om. g⟩. || 1489 *τὸ ἄταφον αὐτὸν αἰκισθῆναι.* || 1495 *μὴ ἐπίτασσε.* | *πρόφασιν ἱκανὴν* ⟨*δὲ πιθανὴν* h⟩ *εὗρε τοῦ μὴ ἐν τῷ ἐμφανεῖ φονεῦσαι αὐτόν.* || 1499 * Thomas Magister p. 77 R. *τὸ γοῦν· ... καὶ ἀργὸν δὲ χάριν κόσμου τοῦτο τιθέασιν οἱ ποιηταί. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ· τὰ γοῦν σά.* *

ΗΛ. ἦ μὴ φύγω σε; *ΟΡ.* μὴ μὲν οὖν καθ' ἡδονὴν
θάνῃς· φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
ὅστις πέρα πράσσειν τι τῶν νόμων θέλοι,
κτείνειν. τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ.

ΧΟ. ὦ σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὸν
δι' ἐλευθερίας μόλις ἐξῆλθες
τῇ νῦν ὁρμῇ τελεωθέν.

1503 ἦ l ἦ l[1] Hermannus | *μή μεν* l || 1505—1507 affert Nicephorus Basilaca prog. 6 I p. 461 W., del. Dindorfius | *ἐχρῆν* p *χρὴ* g | *τήνδε* (ᾶι) om. L add. L[2] *τοιάνδε* g | *πι* p (*πᾶσι*?) || 1506 om. g add. g[3] | *πέραι* L | *τι* Wunderus Dindorfius Cobetus nov. lect. p. 211 (Mnemos. V p. 259) Nauckius n. jahrb. f. phil. LXXXV p. 175: *γε* Llpeg. *πέρα τι τῶν νόμων πράσσειν* Nicephorus | *τῶν ἄλλων* g | *θέλοι* Llg: *θέλει* L[2]pc || 1507 *κακουργὸν* Nicephorus | *ἂν* om. g || 1508—1510 del. FRitterus philol. XVII p. 430 | *σπέρμ'* p | *ὦσ* l | *παθῶν* l corr. l[1] *παθὼν* p || 1509 *διελευθερίασ* le || 1510 affert Eustathius ad Hom. *Λ* 729 p. 881 | *οἴμῃ* Wakefieldus silv. crit. IV p. 20 | *τελειωθέν* l | *τέλος· ἠλέκτρας*: - L *τέλος* (add. e[2]) *σοφοκλέους ἠλέκτρας* pe *ὁ τῶν ἀθέσμων ἐκτελεστὴς πραγμάτων Ἔνθεσμον ὄντως τὴν δίκην ὑφίσταται. τέλος τῆς ἠλέκτρας* vindobonensis

1505 * Thomas Magister p. 394 R. *χρῆν καὶ ἀντὶ τοῦ ἔπρεπε, κατὰ ἀφαίρεσιν τοῦ ε̄· Σοφοκλῆς ἐν Ἠλέκτρᾳ· χρῆν — πᾶσι δίκην.* * || 1508 *ἀντὶ τοῦ μετὰ πολλῶν καμάτων μόλις ἠλευθερώθης.*



CONSPECTVS LOCORVM

QVIBVS VERBA SOPHOCLEA A PRIORE EDITIONE DISCREPANT

28 ἔσει || 35 (τοιαῦτα scripturus erat Iahnius) | πεύσει et sic ubique ad Brunckii normam. at conf. Gerthius apud GCurtium studien I, 2 p. 222 seq. || 54 ἡρμένοι || (62—66 damnaturus erat Iahnius) || 63 θνήσκοντας. similiter 118. 540. 1022. 1486 || 77 δύστηνος om. || 81 κάνακούσωμεν || 86—102 = 103—120 || 92 στυγερὰ || 100 ἀπ' ἄλλης ἢ 'μοῦ om. || 105 ἕς τ' ἂν λεύσσω παμφεγγεῖς Ἄστρων ῥιπάς, λεύσσω δ' ἦμαρ || 112 † θεῶν || 113 † αἵ || 114 τοὺς — ὑποκλεπτομένους † || 139 γόοισιν οὔτ' ἄνταις || 144 ἐφίει et sic ubique e praecepto porsoniano || 152 αἰεὶ (ab ipso Iahnio retrectatum) || 159 † om. || 160 ὄλβιον || 162 † om. || 163 νεύματι || 171 ἀεὶ. idem 650. 917. 1242 || 180 Κρίσᾳ || 182 βούνομον || 186 ἀνέλπιστον || 192 ἀμφίσταμαι || 195 οἱ om. (iam additurus erat I.) || 215 ἐξ οἵων Ἀγαθῶν οἵας εἰς (iam Bergkium secuturus erat I.) || 236 κακότητος || 258 ἄν, || 260 ὁρῶ; || 275 ἡ || 278 τηροῦσ' || 281 ἱρὰ || 282 ὁρῶσα || 283 κλάω (postea ab ipso I. reiectum). idem 1117 || 300 ταὐτὰ || 305 τέ μοι || 314 κἂν || post 316 unius versus iactura indicatur || 319 ποιεῖ. similiter 385. 623. 624. 947. 1044. 1045. 1276 || 336 δ' ἐμέ || 337 τοιαῦτα δ' † ἀλλὰ (iam Stuerenburgii emendationem recepturus erat Iahnius) || (345. 346 damnaturus erat Iahnius) || 354 ἀπαρκούντως δ' ἐμοί || 363 † om. || 364 τυχεῖν || 405 τῷ φέρεις || 421 ἐκ δὲ || (428—430 damnaturus erat Iahnius) || 433 ἐχθρᾶς ἱστάναι κτερίσματα Γυναικὸς οὐδὲ || 438 σωζέσθω. similiter 768. 993. 994. 1257 || 441 ἔκτεινεν ὧδ' || 443 δέξασθαι || 466 λόγοιν (postea retrectatum) || 467 ἐπισπεύδει || 484 χαλκόπλακτος ἀμφάκης || 496 ⏓ ⏑ ⏑ μήποθ' ἡμῖν Ἀψεγὲς || 511 δυστάνοις || 514 ἔλιπεν || 515 πολυπάμονας || 534 με τοῦ χάριν τίνων Ἔθυσεν αὐτήν. || 550 δέ σοι | κακῶς Γνώμην — σχοῦσα, || 554 θ' ὕπερ || 560 λέξω || 565 uncis incl. || 573 ἤλυσις || 584 τιθῇς || 593 αἰσχρῶς γ' | λέγῃς. ποῦ — οὕνεκα; || 601 ὁ δ' || 606 χρῇς || 610 † σὺν — Ξύνεστι † || 615 ἐς. idem 612. 681. 954. 958. 1120. 1166. 1348 || 616 νυν || 6 οὐ μὰ || 641 παλιγλώσσῳ || 659 uncis incl. || 686 τάφέσει || 688 παῦροισι πολλά || 694 κοινὸν || 695 ἀγείραντος γόνος || 709 δ' ἵν' || 710 κλήρους || 711 οἱ δ' || 721 δεξιόν τ' || 753 ἔς τε || 758 δειλαίας σποδοῦ || 760 ἐκλάχῃ || 761 λόγῳ || 766 ταῦτα; || 767 λυπηρῶς γ' || 768 uncis incl. || 773 λέγοις; et 779 τελεῖν || 783 ἀπηλλάγην || 797 τυχεῖν || 798 τήνδε παύσαις || 799 οὔκουν || 801 πράξαις ἂν (πράξειας restituturus erat Iahnius collata LSchmidtii disputatione de omissa ἂν particula) || 818 ἔσομαι ξύνοικος || 851 παμμήνῳ δεινῶν Στυγνῶν τ' ἀχέων ⏑ ⏑ ⏓ || 853 θρηνεῖς || 859 εὐπατρίδων || 860 πᾶσι || 861 χαλαργοῖς || 885 ἄλλου || 891 τῶν λόγων || 918 νῷν δ' ἦν τὰ πρόσθεν || 924 δέ σοι || 934 ὦ || 940 ante 939 collocatus, 941 uncis inclusus | οὐκ ἔσθ' ὅ γ' || 980 προὐστήτην. similiter 1155. 1158.

1285. 1334. 1378. || 1015 πιθοῦ || 1023 ἦ || 1061 ὄνασιν || 1063 οὐ μὰ || 1070 δόμων † νοσεῖ, Τὰ || 1075 πότμον || 1082 ἀγαθῶν * Ζῶν || 1086 κοινὸν || 1087 † τὸ — καθοπλίσασα || 1088 φέρει δ' || 1090 καθύπερθεν Χειρὶ καὶ πλούτῳ τοσόνδ' ἐχθρῶν || 1097 † ἄριστα τὰ Διὸς || 1125 uncis incl. || 1127 ὥς σ' ἀπ' || 1129. 1130 uncis incl. || 1139 λουτροῖς σ' || 1147 τροφός· || 1152 τέτηκ' ἐγώ· σὺ || 1155 λάθρα || 1169 μἀπολείπεσθαι || 1176 ἄλγος, || 1201 τοῖσι σοῖς || 1204 ἐστὶν || 1207 πιθοῦ || 1209 ὦ || 1220 ὦ τᾶν || 1235 ἐφηύρετ' || 1239 † om. || 1243 μέντοι || 1245 ὀτοτοτοτοῖ τοτοῖ || 1251 ἔξοιδα, παῖ, ταῦτ' || 1277 ἀδονάν || 1281 ὦ φίλαι, ἔκλυον — αὐδάν. * * † ἔσχον || 1284 βοᾷ κλύουσα Τάλαινα †. || 1289—1291 uncis non inclusi || 1297 ἐσελθόντοιν || 1310 τοὐμὸν φαιδρὸν || 1329 αὐτοῖς || 1332 ἡμῖν || 1340 γάρ σε μὴ || 1352 προσηῦρον || 1352 † ἔχων || 1396 ἐπί σφ' || 1398—1421 = 1422—1441 || 1405 πλέᾳ || 1422 ΟΡ. καὶ || 1424 κυρεῖτε; || versuum qui post 1427 exciderunt duo priores Electrae tertius Oresti tributi || 1430 εἰσορᾶτέ που || 1431 ἡμῖν † οὗτος; ΗΛ. ἐκ || 1434 πάλιν om. puncto || 1449 τῆς φιλτάτης || 1451 καθήνυσαν || 1454 μ' ἀθρεῖν || 1457 τυγχάνοι || 1458 πύλαις || 1481 πάλαι. || 1505—1507 uncis incl. || 1506 πράσσειν γε | θέλει

In lyricis Iahnius ubique Dindorfii rationes secutus erat.

Adde: 75. 76 del. Todtius philol. XXXII p. 269; 436 ῥῖψον, 440 δυσμενεῖ, 442 αὐτῆς idem p. 253; 686 δρόμον — τοῦ σπέρματος idem p. 255. || in scholio ad v. 391: αἱρουμένην Brunckius.

Corrige in verbis poetae 486 ἅ νιν || 996 αὐτή || in adnotatione critica 63 δόμους El¹pe || 168 Ep: ὥδ' ἐλάθεται L ο superscr. E | ὅδ' ἐλαθετο g || 241 ξυνναίοιμι El || 691, 4 ὢν || 809 οἴχῃ || in scholiis p. 5, 5 οὗτος· || p. 17, 11 κατακολουθῶν || v. 31, 1 δοκῶ || 193, 3 ᾅδῃ || 455, 2 τῷ || 561, 5 πεφονεῦσθαι

BONNAE FORMIS CAROLI GEORGI.